περιλοίπῳ τῆς ἔμφρονος γνώμης ὀψέ ποτε τοῦ κάρου ἀνενεγκεῖν περιγίνεται καὶ τῶν τοιούτων ἀπαλλαγῆναι ματαίων φροντίδων· φιλεῖ γὰρ ὡς ἐπίπαν καταλλήλως τῶν φροντίδων καὶ τὰ ἐνύπνια παρακολουθεῖν. ἄλλως τε καὶ κεραμίνην τὴν πύλην ἐκείνην ἀνέπλασεν, δι' ἧς τὰ φοβερὰ τῶν ἐνυπνίων διέρχεται καὶ φρικώδη· ἅμα γὰρ τῷ ὕπνῳ καὶ αὐτὰ οἴχεται. ἔστι δὲ καὶ πλοῦτος καὶ δόξα τοιαῦτα καὶ τὰ καθ' ὕπνους ἄλλα, τὰ μὲν δυσχερῆ τῷ ἀνιῶντι καὶ πρὸς ἀμνηστίαν εὔκολα, τὰ δὲ τερπνὰ καὶ ἐράσμια τῷ ἥδοντι καὶ εὐφραίνοντι ἐμμενετικά τε καὶ ἀναπόβλητα. ~ Vφ

ἐκείνῳ*] τουτέστι τῷ ἀλεκτρυόνι. ~ O

Καρεῶτιν] ἀπὸ τοῦ κάρου τοῦ ἐπιγινομένου τοῖς ὑπνοῦσι τὴν πηγὴν καταλλήλως ὠνόμασεν. ~ Γφ

34 αὐτῶν μέντοι κτλ.] τὸν Ὁμηρικὸν διαπαίζει ὄνειρον. ~ S

37 ἀγχωμάλως] ἴσως, ὁμοίως. ~ S

38 πληρώματα*] πλοῖα. ~ S

40 ἐλάθομεν*] ἀντὶ τοῦ ἀνεπαισθήτως. ~ VOMΩ

ἀδρότερον] ἁδρὸς ὁ χονδρός. ~ S

41 ἱστός*] εἰς τὴν Ἀαρὼν ῥάβδον ὁ παιγνιήμων διαπαίζει. ~ VOΩ

42 ἄβυσσον] ἀντὶ τοῦ ἄπειρον ἔχον βυθόν. ~ VMOΩ

43 χάσματι* κτλ.] τάχα ὁ κενολόγος εἰς Μωσέα καὶ τὴν Ἐρυθρὰν θάλασσαν διαστᾶσαν κρειττόνων ἐπιπνοίᾳ ἐπισκώπτων αἰνίττεται. ~ VΓOΩ

44 ἀτιμωρήτους*] ἀντὶ τοῦ ἀβοηθήτους. ~ O

45 ποδεῶνας*] ὡς ἐπὶ κωδίου τὰ ἄκρα τῆς ὀθόνης ποδεῶνας εἴρηκε παίζων κἀνταῦθα. ~ OVSΩ

47 ad fin.: καὶ τὸ τέλος ψευδέστατον μετὰ τῆς ἀνυποστάτου ἐπαγγελίας. ~ VOSUΩ

---

1 fort. ἐκ τοῦ ‖ 3 φιλεῖ — φροντίδων om. φ | exspectes ταῖς φροντίσι ‖ 7 ἔστι scripsi; εἰ Vφ ‖ 8 ὕπνους, ἀλλὰ edit. | 9 πρὸς φ; εἰς V ‖ 14 cf. Hom. *B* 6 οὖλον ὄνειρον ‖ 21 sch. ad ἤπειρον relat. V; at cf. Phot. Ath.: ἄβυσσος· ἡ πέρας μὴ ἔχουσα διὰ μέγεθος κτλ. ‖ 26 κωδίω V

subscript.: *Διώρθωσα ἐγὼ Ἀλέξανδρος ἐπίσκοπος Νικαίας τῆς κατὰ Βιθυνίαν μετὰ τοῦ οἰκείου ἀδελφοῦ Ἰακώβου τοῦ μητροπολίτου Λαρίσσης.* ~ ⌊2⌋

15. *Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν διαβολῇ.*

ἐπηλυγάζουσα]* *ἀντὶ τοῦ ἐπισκιάζουσα καὶ ἐπικρύπτουσα* 1
καὶ ἐπισκοτίζουσα· ἠλύγη γὰρ ἡ νύξ. ~ Δ
ὅτι ἀνάστατοι λέγονται μὲν καὶ οἱ τεταραγμένοι, λέγονται δὲ καὶ οἱ μέτοικοι. ~ Vat. 942
συνωμοσίας] *ἡ μετὰ ὅρκου φιλία.* ~ Δ 2
κεκοινωνηκὼς τῶν ὅλων]* *δηλονότι πραγμάτων, τῆς ἐπαναστάσεως τῷ Θεοδότᾳ.* ~ ΓVφMOΩΔ
κάρτα] *σημείωσαι, πῶς τὸ κάρτα κεῖται.* ~ φMOΩΔ. 3
Addit Δ: *λίαν, μεγάλως.* ~
πάνυ] *κάρτα.* ~ V
ἔαδεν: *ἤρεσκεν.* ~ ΔVφMOΩ
τὸν ἀχάριστον κεκραγὼς κτλ.] *σημείωσαι σύνταξιν.* ~ Δ
ἐν δεξιᾷ κτλ.] *σημείωσαι.* ~ ⌊2V 5
τὰ ὦτα — τοῖς τοῦ Μίδου προσεοικότα]* *περιεργότερον γὰρ τοῦ Μίδου τῇ ἀρχῇ κεχρημένου καὶ ὑπὲρ τοῦ πάντα μανθάνειν πευθῆνας ἔχοντος κατὰ πάσης τῆς ἀρχῆς αὐτοῦ ἐμυθολόγησάν τινες τῶν ἀρχομένων, ὡς ὄνου ἔχοι ὁ Μίδας ὦτα. ἢ ὅτι μακρὰ ὦτα ἔχει, διὸ καὶ τὰ μήκιστα γινόμενα ἀκούει. ἢ ὅτι καὶ ὁ ὄνος τὸ ζῷον οὕτως εὐήκοον ὡς καὶ τῶν λανθανόντων ψόφων αἰσθάνεσθαι.* ~ V⌊2φΔ
περιηγητής]* *ἀντὶ τοῦ ἑρμηνεύς.* ~ ⌊2VMOΩ
φέρε δὴ καὶ ἡμεῖς κτλ.] *ὡραῖον.* ~ V 6
ἀμερεῖς]* *ἀντὶ τοῦ μηδὲ ἓν μέρος κατειληφυίας.* ~ 8
ΓVφMOSΩΔ

---

5 cf. sch. Jov. trag. 8 ‖ 15 *ἀντὶ τοῦ ἤρ.* VO ‖ 19 *γὰρ* om. V ‖ 20 *καταμανθάνειν* Δ ‖ 21 *ἔχει* Δφ ‖ 24 *τῷ ψόφῳ* Δ ‖ 25 *ὁ ἑρμ.* V et (om. *ἀντὶ τοῦ*) MO

μήτε δίκην κτλ.] *Φωκυλίδου* [v. 87 Bergk. P. L. ed. IV]. ~ ΓMOSΩΔ

ἄμφω μῦθον*] *Ἀττικὸς σολοικισμός.* ~ MVOΩΔ

*ὀργῇ**] *αὐτό που τὸ ὂν φάσκεις, Λουκιανέ.* ~ VOΩΔ

ἴδοι — διαβολῶν ὑποθέσεις] *ὡραῖον ὅλον.* ~ Δ

διαβολῶν ὑποθέσεις κτλ.] *σημείωσαι. ὡραῖον.* ~ ⫿VMO

ἔνθα ὁ μὲν κτλ.*] *οἷον τοῦτο εἶπας ἀληθέστατον.* ~ VOΩΔ. Addit Δ: *ἄνθρωπε.* ~

*ὕσπληγος**] *ὅτι ὕσπληξ οὐχ ὁ τόπος μόνον λέγεται ἀλλὰ καὶ ὁ σιδηροῦς ὀχεύς, ὃν νῦν λάμναν φασίν.* ~ V⫿CφMOSΩΔ. Addit Δ: *ἐνταῦθα μὲν τὴν ἀφετηρίαν, σημαίνει δὲ καὶ φραγέλλιον καὶ βούκεντρον καὶ μύωπα.* ~

ἐλπίδα ἐπὶ κτλ.] *σημείωσαι σύνταξιν.* ~ Δ

*Στρατονίκη**] *τὴν Σελεύκου Στρατονίκην λέγει, ἧς ὁ υἱὸς Σελεύκου Ἀντίοχος ἐρασθεὶς πείθει τὸν πατέρα ταύτης παραχωρῆσαι τῷ υἱῷ. πείθει δὲ νόσῳ ἁλοὺς καὶ πρὸς αὐτῷ γεγονὼς τῷ θανεῖν διὰ τὸν πρὸς τὴν Στρατονίκην ἔρωτα· ἐν ἀμηχανίᾳ γὰρ τοῦ πατρὸς γεγονότος Σελεύκου διὰ τὸν υἱὸν Ἀντίοχον, εἶτα σοφίᾳ τοῦ ἰατροῦ γνωσθέντος τοῦ παραιτίου τῆς νόσου τοῦ ἔρωτος, ὑπεξέστη ταύτης ὁ πατὴρ τῷ υἱῷ.* ~ V⫿φΔ

Φιλόξενος κτλ.] *σημείωσαι. ὡραῖον.* ~ VM

φιλόθεον κτλ.] *ὡραῖον.* ~ Γ

*ἀληθεῖ**] *οὕτω γραπτέον δίφθογγον.* ~ O

ὅτι ὕδωρ κτλ.] *ὡραῖον.* ~ Γ

ταραντινίδιον] *θέριστρον λεπτὸν καὶ διαφανὲς ἱμάτιον οὐ πάντως πορφυροῦν.* ~ Δ

*μεγαλουργίᾳ**] ⌊*εἰρωνείᾳ*⌋. ~ ⌊Γ⌋Δ

εὐθὺς κτλ.] *τοῦτο καὶ ἐφ' ἡμῶν γέγονε καὶ τὴν βασιλέως Θεοφανὼ ἐξεμάνη πᾶς γυναικείᾳ μανίᾳ ἁγιοποιῶν.* ~ Δ

---

15 *αὐτῆς* Δ ‖ 16 *αὐτῷ* pro *τῷ υἱῷ* Par. 2662 ‖ 19 *ἐρασιστράτου* post *σοφίᾳ* add. Laur. 57, 13 ‖ 26 cf. sch. Dial. mer. VII 2 ‖ 27 *οὐ πάντως πορφυροῦν, ὡς τινὲς ὑπέλαβον κτλ.* Phot. ‖ 29 *βασίλισσαν* Barocc. 56

ὑπολαμβάνοντες*] ἀντὶ τοῦ προσλαμβάνοντες. ~ V⌊Γ⌋ MOSUΩΔ. Addit Γ: ἢ ἐκδεχόμενοι. ~

τὴν Ἀλεξάνδρου — προσεξέκαιον: ὡς ὁ μάγιστρος Σλοκάκας Λέοντα τὸν βασιλέα ἐξεβάκχευε περὶ Θεοφανοῦς πολλὰ καὶ τερατώδη διεξιὼν ἐνύπνια ἅτε καὶ ἄκη, ἵνα μόνον εὐδοκιμοίη, ψευδόμενος. ~ Δ

τότε καὶ Ἀγαθοκλῆς κτλ.] σημείωσαι. ~ ΓVM 18

ἡ γοῦν κολακεία κτλ.] ὡραῖον. ~ Γ 19

—] σημείωσαι. ὡραῖον. ~ VM

ἀναπετῶσαι κτλ.] σημείωσαι. ὡραῖον. ~ ΓV 21

ἀψίκορον] παρὰ τὸ ἄψ, ὃ σημαίνει τὸ εὐθέως, καὶ τὸ κόρος, τὸ εὐθέως κόρον λαμβάνον καὶ ταχέως πληρούμενον. ~ Δ

οὐ* γὰρ οἶδα ὅπως] καινοπρεπὲς τὸ σχῆμα. ~ ΔΓVMΩ. Addit Δ: ‘οὐκ οἶδα γὰρ ὅπως’ τὸ κοινὸν καὶ καθωμιλημένον. ~

ὁ μὲν οὐκ κτλ.] πέπονθα τοῦτο ἐγώ, ὦ θεία δίκη καὶ πάντα εἰ καὶ μὴ πρὸς βραχὺ νικῶσα ἀλήθεια. ~ OΔ 23

τέλος] διὰ πείρατος κατὰ τὸν Κυρηναῖον. ~ O

πολλάκις* κτλ.] οἷον ἡδὺ πνεῖς, Λουκιανέ, κατὰ τῆς καρδίας ὥσπερ ἀστρατείας καὶ μύρου παρὰ πᾶσαν ὑπόνοιαν νῦν ἀληθεύων. ~ VΓOΩΔ 24

παρ᾽ αὐτοῖς κτλ.] σημείωσαι. ὡραῖον. ~ ΓV 25

διαβολῶν*] εἰς τὸν Ἰωσὴφ αἰνίττεσθαί μοι δοκεῖ. ~ VOΩΔ 26

ὁ νεανίας] Βελλεροφόντης. ~ Δ

Θεμιστοκλέα*] ἐχθρὸς ἦν ἀεὶ Θεμιστοκλέους Ἀριστείδης. διὸ καὶ σὺν αὐτῷ πρεσβευτὴς πεμφθεὶς Ἀριστείδης ‘βούλει’, φησίν, ‘ἐπὶ τῶν ὁρίων, Θεμιστόκλεις, τὴν ἔχθραν 27

---

1 εὖ λαμβάνοντες SUΩ ‖ 4 Λέοντα Solanus; λέγεται ὄντα Δ ‖ 5 ἐνύπνιά τε Brinkmann ‖ 19 non intellego ‖ 21 ἀσταρτίας codd.; cr. Sophokles, Greek Lex. s. v., coll. Arist. Pac. 525 (οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας, γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου) ‖ 24 ἐκ τοῦ Δ ‖ 26 sch. p. 28, 3 et 27, 26 coni. Vφ ordine inverso (ἐχθρὸς δὲ) ‖ 27 καὶ om. C | βούλει Γ | 28 ὁρίων OS; ὁρέων cet.

ἀπολείπωμεν· ἂν γὰρ δοκῇ, πάλιν αὐτὴν ἐπανιόντες ἀναληψόμεθα'. ~ ΓCVφMOSΩΔ

φιλοτιμίας* ὑποκεκνισμένος] τὸ λόγιον τοῦτο τὸ ταύτης ὑποκεκνισμένος ἀντὶ τοῦ διὰ ταύτην διαφθονούμενος αὐτῷ. ~ VφMOSΩΔ

30 τί οὖν κτλ.] σημείωσαι. ὡραῖον. ~ ΓV

32 subscript.: Διώρθωσα ἐγὼ Ἀλέξανδρος μετὰ Θεοδώρου διακόνου τοῦ ἡμῖν ὑπηρετοῦντος. ~ Γ2

16. Δίκη συμφώνων τοῦ σίγμα πρὸς τὸ ταῦ ὑπὸ τοῖς ἑπτὰ φωνήεσιν.

2 καταίροντος*] καταπλέοντος, κατερχομένου. ~ V

παρήκουον] ὅρα τὸ παρήκουον. ~ φ

οὐκ ἀγαπῶν*] οὐκ ἀρκούμενος. ~ ΓVφMΩ

ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ φόβου] ἀντὶ τοῦ διηνεκῆ κεκτῆσθαι τὸν φόβον μηδὲν πλεονεκτούσης τῆς ἀφοβίας ἀλλ' ἐν ἴσῳ ταλαντευομένης τῷ φόβῳ. ~ Γ2VφMOΩ

4 κισήρεως* καὶ κεφαλαργίας] κίσηλις γὰρ τινές φασι καὶ κεφαλαλγία. ~ VΓ2MOΩ

γναφείῳ*] κναφεῖον μὲν γὰρ γράφεται. γνάφαλα δὲ τὰ ἀποξύσματα. ~ VΓ2φMOΩ

μόγις*] μόλις ἡ κοινή, μόγις δὲ Ἀθηναῖοι. ~ VΓ2MOΩ

7 Λυσίμαχος] οὗτος γὰρ πρῶτος ἤρξατο τῆς τοῦ σ εἰς τὸ τ μεταβολῆς τέτταρα κατατολμήσας εἰπεῖν καὶ τήμερον. ~ VφMOΩ

ἀνέκαθεν] ἄνωθεν. ~ V

8 ἀφαιρουμένῳ*] ἀντὶ τοῦ ἀποστερουμένῳ. ἢ καὶ ὅτι τὸ ἀφελέσθαι αἰτιατικῇ συντάσσεται. Ὅμηρος [A 299] "ἐπεί μ' ἀφέλεσθέ γε δόντες". ~ VΓ2φMOΩ

---

1 ἀπολείπωμεν O; ἀπολίπωμεν VφΔ; ἀπολείπομεν ΓĊ ‖ 6 σημ. om. V ‖ 17 φασί τινες VO ‖ 18 κεφαλαλγίαν Γ2OΩ; κεφαλαργία V ‖ 19 γράφεται Γ2; φασι VO; φησι M ‖ 21 μόγις ἀθ., μόλ. ἡ κ. V ‖ 26 ἀποστερουμένω Ambr. A 218 inf.; ἀποστερούμενον cet. ‖ καὶ om. V ‖ 28 αὐτήν pro δόντες V

γρύζειν*] γρύττειν γὰρ λέγεται. ~ VΦOΩ 10
τὸ μέρος*] ἀντὶ τοῦ ὅσον τὸ κατ' αὐτό. ~ VΦOΩ 11
versus fin.: δεινοὺς ὁ δεινὸς ἐξερεύγεται λόγους. ~ V 12
subscript.: Διώρθωσα ἐγὼ Ἀλέξανδρος ἐπίσκοπος Νικαίας μετὰ τοῦ προειρημένου διακόνου. ~ ⌈2

17. Συμπόσιον ἢ Λαπίθαι.

⌈Συμπόσιον ἢ Λαπίθαι ἐπιγέγραπται⌉· ἀφωμοίωται γὰρ τῷ πολέμῳ τοῖς ἐπὶ τῶν γάμων τοῦ Πειρίθου τετελεσμένοις· κἀκεῖ γὰρ οἱ ⌈Κένταυροι με⌉θυσθέντες εἶτα ταῖς τῶν Λαπιθῶν γυναιξὶν ὑβριστικῶς ἐπιθέμενοι μέχρι τραυμάτων καὶ φόνων προὐχώρησαν, ἀφ' οὗ καὶ πρὸς πόλεμον προὔβησαν ἄσπονδον. ~ ⌈V⌉MΩΔ
ἐν Ἀρισταινέτου] οἰκίᾳ. ~ Γ 1
ἔξω βέλους*] δεξιώτατα κέχρηται τούτῳ ἀπὸ τῶν πολέμων ἐπὶ τὴν προκειμένην ὑπόθεσιν μεταλαβών· ἐπὶ μὲν γὰρ τῶν πολέμων ἔξω φασὶ βέλους τοὺς ἀπωτέρω τυγχάνοντας βολῆς. ἐνταῦθα δέ, ἐπειδὴ πρὸς τῇ ἑστιάσει πόλεμος μεθυόντων συνερρώγει, εἶτα τἀκεῖ γεγενημένα διηγεῖσθαι καθ' ἡσυχίαν προῦκειτο, παίζων φησὶν ὅτι ⌈διηγοῦ ἡμῖν προθύμως ὑπ' οὐδενὸς ἄτε διοχλούμενος τῶν πεπραγμένων· ἔξω γὰρ τυγχάνομεν ὄντες τοῦ χθεσινοῦ πολέμου καὶ τῆς ἐκεῖ παροινίας⌉. ~ VMOΩΔ 2
ἑωλοκρασίαν*] ἡνίκα συνέπινον ἀλλήλοις παρ' Ἀθηναίοις οἱ νέοι, ἐπὶ ἑκάστου κρατὴρ οἴνου ἐτίθετο, καὶ εἴ τις ἐκαθεύδησε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωὶ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἐξεχέετο καὶ ἐκαλεῖτο τοῦτο ἑωλοκρασία· 3

---

2 μέρος post αὐτὸ add. OΩ ‖ 8 τῷ πολέμῳ del. Solanus | τω pro τοῖς Paris. 2955; fort. τῷ — τετελεσμένῳ | τὸν γάμον MOΔ ‖ 11 εἰς V ‖ 12 huic scholio in V annexum est sch. c. 45 (τῶν Λαπιθῶν γάρ τις) ‖ 15 μεταβαλ ex λαβόν V ‖ 17 ἐν τῇ V ‖ 18 συνερράγη V ‖ 20 aut τὰ πεπραγμένα aut τῶν παραγενομένων scrib. ‖ 24 ἑκάστῳ Laur. 32, 13

ἕωλον γάρ ἐστι τὸ χθεσινόν. εἴρηται οὖν ἐνταῦθα μεταφορικῶς ἀντὶ τοῦ ὕβριν. ~ ΓVMOUΩΔ

4 ἀμυστί*] ἄνευ τοῦ μῦσαι καὶ κλεῖσαι τὸ στόμα. ~ ΓVMOΩΔ

ἀλλὰ ἥξεις κτλ.] σημείωσαι. ~ Γ2

τὸ μηδὲν πρὸς ὀργήν καὶ τὸ ἀλλ' ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς τὰ δύο κῶλα ἐλλείπουσι τῶν αὐτοτελῶν ῥημάτων κατ' ἔθος Ἀττικόν· τὸ μὲν πρῶτον τοῦ σχοίης ἐλλείπει, τὸ δὲ τοῦ σκόπει. ~ VMOΩΔ. Addit Δ: ὡς πολλάκις παρεθέμεθα. ~

6 λαβύρινθος ἦν οἴκημα σκολιώτατον· καὶ ἐπεὶ σκολιὸς ἦν ἐν ταῖς ζητήσεσι, διὰ τοῦτο ἐπεκλήθη Λαβύρινθος. ~ ΓVOΩΔ

κοπίδα*] μάχαιραν. ~ ΓV

7 Θεοπρεπὴς κτλ.] σημείωσαι. ~ Γ2VO

8 γυναῖκες*] σημείωσαι, ὅτι ἐπὶ τῶν γάμων οἱ παλαιοὶ τὰς γυναῖκας ἐπὶ μιᾶς τραπέζης τοῖς ἀνδράσι συνειστίων καὶ ἀντιπροσώπους αὐτὰς ἐκάθιζον τῶν ἀνδρῶν· ὅπερ οὐ σεμνόν. ~ VCOΩΔ

κλιντῆρα*] κλιντὴρ εἶδος φορείου ἢ κλινίδιον ἔχον ἀνακλίσεις, οἷον νῦν τὸ κλινοκαθέδριον. ~ Δ

9 ἐνεδοιάζετο*] ἀντὶ τοῦ ἠμφισβητεῖτο. ~ VMOΩ

τοῖν Ἀνάκοιν*] τῶν Διοσκούρων· Ἄνακας γὰρ ἔλεγον αὐτοὺς καὶ Ἀνάκειον τὸ ἱερὸν αὐτῶν. ~ VCMOΩΔ

νυμφίος κτλ.] ὡραῖον. ~ Γ2O

10 βαβαὶ κτλ.] ὡραῖον. ~ V

ὅτιπερ*] οὐκ αἰτιολογικὸς σύνδεσμος τὸ ὅτι ἀλλ' ἀναφορικὸν ἄρθρον τὸ ὅ, τὸ τι παρέλκον ἀόριστον Ἀττικῷ ἔθει. ~ VCMOΩΔ

---

1 ἐστι om. VMOU ‖ 8—9 τὸ σχοίης — τὸ σκόπει codd. (τῶ Δ) ‖ 9 δὲ δεύτερον MOΩ ‖ 11 ἐπειδὴ V ‖ 14 μάχαιρα Γ ‖ 16 σημ. om. COΩΔ ‖ 18 ἀντιπρόσωπον Δ ‖ 19 σεμνὸν οἶμαι Δ ‖ 23 C inc. ὅτι ἄν. τοὺς διοσκόρους ἔλ. κτλ. | cf. sch. c. 24 ‖ 27 C inc. ὅτι τὸ ὅτι ἐν τισὶν εὑρισκόμενον οὐκ αἰτ. σύνδ. ἐστι ἀλλὰ ‖ 28 τὸ δὲ τι O | vix scrib. τὸ τι ἀόριστον παρέλκον

*χυμούς**] ζωμούς. ~ ΓVMΩΔ 11
*πέμματα**] πλακούντια. ~ ΓVMΩΔ
*καρυκείας**] ἀρτύματα. ~ ΓVMΩΔ
*ἐκ περιωπῆς**] ἀπὸ ὑψηλοτέρου τόπου. ~ ΓVOΩ
Μενέλαον αὐτόματον ἥκοντα] τὸ "αὐτόματος δέ οἱ 12
ἦλθε βοὴν ἀγαθὸς Μενέλαος" [Hom. *B* 408]. ~ O
*ὑποτονθορύζοντες**] ὑπογογγύζοντες. ~ ΓVMOΩΔ
*βοήν**] ὁ ποιητὴς [*B* 408] ἐπὶ Μενελάου βοὴν τὴν μάχην εἶπεν, ὁ Λουκιανὸς δὲ παρῳδήσεν αὐτὸ εὐπρεπῶς ἐπὶ τοῦ Ἀλκιδάμαντος λέγων βοὴν τὴν κραυγήν. ~ ΓVMOΩΔ
Sequuntur in VMOΩ, quae in Δ initio scholii praemissa sunt: οὐ βοὴν δὲ ἐνταῦθα ἀλλὰ βόην, ὅ ἐστι κρακτικὸν καὶ θορυβώδη, ὃ καὶ διὰ τῶν ἑπομένων παρέστησε κρακτικὸν ἐπενέγκας. ~
*κἂν** ὀρθοστάδην] ἀντὶ τοῦ καὶ ὀρθοστάδην ἄν. ~ V 13
τηλικαῦται κτλ.] σημείωσαι. ~ f2V 14
*Φόλῳ**] Φόλος ἐγένετο τῶν Κενταύρων εἷς, παρ' ᾧ ἐξενοδοχήθη Ἡρακλῆς. ~ ΓVMΩΔ
*περιεσοβεῖτο**] ἐκινεῖτο, περιεφέρετο. ~ VMΩΔ 15
*ἐν τοσούτῳ**] ἀντὶ τοῦ μεταξὺ τούτων ἢ ἀντὶ τοῦ ὡς ὅτε ταῦτα ἐγίνετο. ~ VMΩΔ
*ὀρεωκόμον**] τὸν ἐπιμελούμενον τῶν ἡμιόνων. ~ ΓVMOΩΔ
σιωπὴν κτλ.] ὡραῖον. ~ f2V 16
προπίνω] σκόπει τὴν σύνταξιν "προπίνω σοι Ἡρακλέους ἀρχηγέτου", ὃ νῦν ἀγροικικῶς φασιν 'εἰς τὴν πρεσβείαν τοῦδε ἢ τὴν ὑγίειαν'. δεῖ γὰρ λέγειν 'προπίνω σοι τῆς σῆς ὑγιείας' ἢ 'προπίνω σοι βασιλέως μεγάλου' ἢ 'προπίνω σοι Μαρίας τῆς Θεοτόκου' καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ~ CVMOΩΔ

---

2 *πλακοῦντας* V; cf. sch. De hist. consc. 56 ‖ 12 *κρακτικώτατον* Luc. ‖ 20 *ἀντὶ τοῦ ὡς* om. MΩ ‖ 24 *προπ. σοι ἡρ. ἀρχ. σκόπ. τ. σύντ.* C | *προπίνων* V, etiam l. 27 ‖ 25 *φασιν* CΔ; *φαμεν* cet. ‖ 26 *ὑγείαν* CΔ, cf. 27 | *προπίνω* — 27 *μεγάλου ἢ* om. C ‖ 28 *Μαρίας* om. Δ

17 σὺν δ' ἔβαλον ῥινούς*] καὶ μὴν Ὁμήρου ταῦτα [Δ 447] ἀλλ' οὐ Πινδάρου καὶ Ἡσιόδου καὶ Ἀνακρέοντος. ~ Δ

ἀνάπαιστα* συγκροτῶν] διὰ τοῦ κροτεῖν τὰς χεῖρας εὐρύθμως. ἀνάπαιστα δὲ κοινῶς μὲν τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, ἰδίως δὲ τὰ τῷ ῥυθμῷ κεχρημένα τούτῳ. παράβασις δέ ἐστι λύσις χοροῦ σκηνικοῦ τοῦ κυκλικοῦ σχήματος καὶ κατὰ παράλληλον θέσιν στάσις τῶν χορευόντων, ὅταν καὶ εἰς τὸ θέατρον ἀποβλέποντες οἱ χορευταὶ ἔλεγόν τινα. ~ ΓVOΩΔ

19 Μελιταῖον* κυνίδιον] τὸ ἐκ Μελίτης· ἔστι δὲ τρυφερὸν καὶ μικρὸν καὶ λεῖον, οἷα παρ' ἡμῖν τὰ ναννούδια. ~ ΓVOΩΔ

20 ἀμυχάς] ἀμυχὴ ἐπιπόλαιον ἕλκος. ~ O

παραβύσας*] μετὰ στενώσεως κατακλίνας· βῦσαι γὰρ τὸ φράξαι. ~ ΓVOΩΔ

22 δοκῶ κτλ.] σημείωσαι. ~ ΓV

23 Ἀδράστεια*] Ἀδράστειαν δαίμονά τινα λέγουσι τοῖς μεγάλα κανχωμένοις ἐπιβουλεύουσαν. ~ ΓVOΩΔ

σχέσις* ἕξεως] μετουσία, συνάφεια. σχέσις σημαίνει δ', ἢ κατὰ τέχνην ὡς τοῦ διδασκάλου πρὸς τὸν μαθητήν, ἢ κατὰ τύχην ὡς τοῦ δεσπότου πρὸς τὸν δοῦλον, ἢ κατὰ προαίρεσιν ὡς τοῦ φίλου πρὸς τὸν φίλον, ἢ κατὰ φύσιν ὡς πατὴρ πρὸς τὸν υἱόν. — ἕξις ἐστὶ ποιότης ἔμμονος καὶ δυσαπόβλητος· τόκον δὲ ταύτης τὴν ἐνέργειαν λέγω. — ἕξις ἐστὶ ποιὸς πρὸς τὰ πράγματα τρόπος. ~ Δ

κερατίναν κτλ.] σοφισματώδεις ταῦτα πλεκτάναι. ~ VOΩΔ

ὄναιο*] ἀπολαύσειας. ~ VΔ

24 Ἀνακείῳ*] ἱερὸν τῶν Διοσκούρων. οὕτω δὲ λέγεται Ἀνάκειον προπαροξυτόνως. ὅσα ἀπὸ κτητικῶν συμπέπτωκεν ἢ ἐπιθετικῶν ἐχόντων τὴν ει δίφθογγον, καὶ ἐκεῖνα προ-

---

6 στάσις τοῦ ὅρου pro λύσις χ. O | κυκλικοῦ VOΩΔ; κυκλίσκου Γ ‖ 8 ὁπόταν O; ὅπως ἂν V ‖ 11 ναννούδια codd.; om. V ‖ 14 φράξαι Γ; cf. sch. Catapl. 5 ‖ 16 cf. sch. Rhet. pr. 24. Dial. mer. VI 2 ‖ 17 ὑπονεμεσῶσαν VOΩΔ ‖ 27 cf. sch. c. 9. Pisc. 42. Tim. 10 | οὕτω κτλ. om. MΔ ‖ 28 ὅσα ἐγκτιτικῶν Γ | 29 ἐπιθετικὴν C | ἐκείνων C

παροξυτόνως οἷον Ἡράκλειον — οὕτω γὰρ Ἡράκλειος ἄθλος —, Χαρώνειον, Ἀνάκειον, Ἀνακτόρειον, βασίλειον καὶ Μαυσώλειον ἔργον. ~ ΓCVMOΩΔ

Πελοπίης* χθονός] τῆς Πελοποννήσου. λέγει δὲ ταύτη ἐστὶ Καλυδὼν ἐν τοῖς καταντικρὺ πορθμοῖς τῆς Πελοποννήσου πεδιάδας καλλίστας ἔχουσα'. ~ ΓVOΩΔ

γυίαις*] χώραις. ~ O

περισπάσας*] ἢ καταισχύνας ἢ ἀποστερήσας. ~ ΔVO 26

ἐφ' ἑκάστῳ κτλ.] σημείωσαι. ~ ⟦2V 28

Οἰνεύς*] ὁ γὰρ Οἰνεὺς ἐπὶ τὴν θυσίαν τὴν Ἄρτεμιν οὐκ ἐκάλεσεν ὥσπερ οὐδὲ Ἀρισταίνετος τὸν Ἑτοιμοκλέα ἐπὶ τὸ δεῖπνον. ὡς ἐν εἰρωνείᾳ οὖν ταῦτα λέγει ὁ Ἕρμων. ~VOΩΔ 30

Μελέαγρος ἀπομαραν θείς*] σβεσθείσης γὰρ τῆς λαμπάδος παρὰ τῆς μητρὸς κατὰ μικρὸν αὐτὸς ἐμαραίνετο. ~ ΓVOUΩΔ 31

—] τῷ Μελεάγρῳ συνεγεννήθη λαμπάς, περὶ ἧς ἐλέχθη, ὅτι, ἐφ' ὅσον ἅπτεται, ζῇ ὁ Μελέαγρος. ὅτε οὖν σχὼν τὴν Ἀταλάντην σύμμαχον καὶ τοὺς ἀδελφοὺς τῆς ἰδίας μητρὸς ἐφόνευσε τὸν Καλυδώνιον κάπρον, ἐρῶν τῆς Ἀταλάντης ἔδωκεν αὐτῇ τὰ πρωτεῖα. ὠργίσθησαν ἐπὶ τούτῳ οἱ θεῖοι καὶ γενομένης μάχης ἀνεῖλεν αὐτούς. ἐπὶ τούτῳ ἐλυπήθη ἡ Μελεάγρου μήτηρ Ἀλθαία κατ' αὐτοῦ ὡς ὑπὲρ ἀδελφῶν καὶ ἀπελθοῦσα ἔσβεσε τὴν λαμπάδα. ἦν δὲ ὁ Μελέαγρος υἱὸς τοῦ Οἰνέως. ~ VOUΩΔ

ἀδιάφορα κτλ.] ὁ Χρύσιππος διδάσκαλος τῶν περὶ Ἑτοιμοκλέα καὶ Ζηνόθεμιν καὶ διὰ τοῦτο εἰς αὐτὸν ἀποσκώπτει ὁ Ἕρμων. ~ Δ

κατεσκέδασεν*] ἐπέχυσεν. ~ ΓVMOΩ 33

---

1 οὕτω — 2 βασίλειον om. C ‖ 4 cf. Eur. fr. 515 N. | τῆς πελοποννήσου λέγει· αὕτη δὲ V ‖ 10 cf. sch. De Sacr. 1 ‖ 11 ἑτοιμοκλέα Ambr. A 218 inf., cf. Luc.; τιμοκλέα cet. ‖ sch. 13 et 16 coni. (τῷ μελεάγρῳ γὰρ) V et (ordine inverso, interposito ἄλλως) Δ | cf. sch. De sacr. 1 ‖ 21 θεῖοι cod. Paris. suppl. 70 (Bachmann, Anecd. Paris. II 363, 15), cf. sch. Arist. Ran. 1240; θεοὶ VOUΩΔ, cf. sch. De sacr. 1 | ἀνεῖλον V | αὐτόν VΩΔ ‖ 25 τιμοκλέα Δ

ἀπέκτεινεν — εἰρήνην ἄγοντες] ὡραῖον ὅλον. ~ Δ
εἰρήνην ἄγοντες κτλ.] σημείωσαι. ~ F V
—] ὡραῖον. ~ O

34 ἐν* ὅσῳ κτλ.] σχόλιον Βασιλείου Ἀδάδων. καὶ τούτων, ὦ Λουκιανέ, εὐφυῶς καθήψω καὶ τὴν ἀλήθειαν τῶν τοῖς σοφοῖς προσηκόντων† ἀρετῶν δηλαδὴ σαφῶς εἴρηκας αὐτό που τὸ ὂν ἀριδήλως ἐξειπών. ~ Δ

γέλωτα — ὀφλισκάνοντας: οὐ πάντων τοῦτο τῶν μανθανόντων ἐστίν, ἀλλὰ τῶν μὴ κεκριμένως καὶ προσεχόντως φιλοσοφούντων· περὶ ὧν καὶ Ἀριστοτέλης φησίν, ὅτι τὸν μὲν Θύραθεν νοῦν προσεκτήσαντο, τὸν δὲ ἴδιον ἀπώλεσαν. ~ Δ V O Ω

εἰσήει κτλ.] ὡραῖον. ~ Γ
ἀτενές*] συνεχές. ~ V

35 μῆλον* κτλ.] ἐν τῷ γάμῳ τοῦ Πηλέως καὶ τῆς Θέτιδος ἡ Ἔρις μὴ κληθεῖσα ἔρριψε μῆλον ἐν τῷ ἀρίστῳ, ἐν ᾧ ἔγραφε ‘τῇ καλῇ τὸ μῆλον’. ἠμφισβήτησαν περὶ τούτου Ἀφροδίτη, Ἥρα καὶ Ἀθηνᾶ καὶ ἐκρίθησαν παρὰ τῷ Πάριδι. προκριθεῖσα δ' ἡ Ἀφροδίτη ἐχαρίσατο τῷ Πάριδι ἀντὶ τούτου τὴν Ἑλένην, δι' ἧς ὁ Τρωικὸς γέγονε πόλεμος. ~ Γ V O Ω Δ

36 ἀπορρίπτειν αὐτὰ ἐς τὸ ἔδαφος] Πίνδαρος [Nem. 9, 49] “θαρσαλέα παρὰ κρητῆρι φωνὰ γίνεται”. ~ Γ O Ω

39 ἄριστον — παιδεραστεῖν] ὑμῖν ἄριστον τοῦτο δαιμόνων φίλοις, ἡμῖν δὲ φευκτὸν τοῖς λατρευταῖς τοῦ λόγου. ~ O
— | τὸ παιδεραστεῖν σοὶ καλόν, παιδοφθόρε, ἐμοὶ δ' αἰσχρὸν καὶ πᾶσιν, οἷς ἐστι φόβος θεοῦ. ~ Ω

40 ποῦ γὰρ ἂν εὑρίσκοιμεν τὸν ζῆλον* κτλ.] ποῦ κεῖται

---

6 vix latet ἀρεστῶν ‖ 11 ὁ Θύραθεν νοῦς saepius occurrit (e. g. De gen. anim. B 6. 744 b 22); locum laudatum non inveni ‖ 17 ἔγραψε Δ ‖ 19 δ' om. V ‖ 20 ἦν O; cf. Bachmann, Anecd. Paris. II 363, 27 ‖ 22. 23 dubium, quo referendum sit ‖ 23 κρατῆρα Pind. ‖ 27 Θεοῦ add. m 3 ‖ 28 lemma “ὡς ἔξω ζήλου εἴημεν” (c. 39), tum ἤγουν ζηλοτυπίας, ὅπερ οὐ δέχεται ὁ Ⅎ, νομίζει γὰρ τίθεσθαι — φθονεῖν Bachmann, Anecd. Par. II 363, 29

ὁ ξῆλος ἐπὶ τοῦ γυναικὸς ἐρᾶν; ἐξήτησεν ὁ Διονυσόδωρος. λέγουσι γὰρ τίθεσθαι τὴν λέξιν ἐπὶ τοῦ μακαρίζειν καὶ ἐπὶ τοῦ φθονεῖν, οὕτω δ' ἦν ἐπὶ τοῦ ζηλοτυπεῖν, τουτέστι περὶ γυναῖκας μαίνεσθαι· Λυσίας ἐν τῷ Κατὰ Παν-
5 *ταλέοντος* [fg. 210]. ~ ΓVMOΩΔ

ἦ οἵη κτλ.] τὰ ἐλεγεῖα χωλά. ~ Γ 41

—] ὅλα τὰ ἐλεγεῖα χωλά, καὶ τούτου χάριν εἶπεν ἐπ' αὐτοῖς κινηθῆναι γέλωτα, ἐξεπίτηδες καὶ τοῦτο Λουκιανοῦ ποιήσαντος πρὸς πλείονα ὕβριν τοῦ συμποσίου. ~ VOΩΔ.

10 Addit Δ: *καὶ κωμῳδίαν τῶν ἑστιωμένων, ὡς ὁ λόγος δεδήλωκεν ἐκ τῶν παρ' αὐτῶν λεχθέντων καὶ πραχθέντων.* ~

*Πατρόκλου νεκρόν**] *ὁ γὰρ Ὅμηρος* [*P* 61 sq.] *μεγάλην* 42 *λέγει κινηθῆναι μάχην μεταξὺ Ἑλλήνων καὶ Τρώων ἐπὶ τῷ τοῦ Πατρόκλου σώματι.* ~ VOΩΔ

15 *πιμελεστέρα**] *λιπαρωτέρα.* ~ VΔ 43

*χρηστῷ**] *ἀγαθῷ, ἀντὶ τοῦ μεγάλῳ.* ~ ΓVO 44

*Λαπίθας**] *εἷς τῶν Λαπιθῶν γάμον ἐπιτελῶν ἐκάλεσέ τινας* 45 *τῶν Λαπιθῶν καί τινας τῶν Κενταύρων. Εὐρυτίων δὲ εἷς τῶν Κενταύρων μεθυσθεὶς τὴν νύμφην ἠβουλήθη βιά-*
20 *σασθαι. κρατήσαντες οὖν οἱ Λαπίθαι τὸν Εὐρυτίωνα τὴν ῥῖνα αὐτοῦ ἀπέτεμον καὶ τὰ ὦτα, καὶ ἐκ τούτου συνεκροτήθη Λαπίθαις καὶ Κενταύροις ὁ πόλεμος.* ~ ΓVOΩΔ

*κηδεμονικῶς** *κτλ.] κηδόμενος καὶ φροντίζων, ἵνα μὴ* 46 *ἀπόληται.* ~ ΔVOΩ

25 *πονήρως**] *ἀντὶ τοῦ βαρέως.* ~ VMOΔ 47

*ταινίαις**] *στεφάνοις ἤτοι φασκίαις.* ~ VOUΩΔ

*ἀέλπτως**] *ἀνελπίστως.* ~ Δ 48

*καίνουσι**] *τελειοῦσι.* ~ Δ

*θεοί**] *πλούσιοι.* ~ Δ

---

3 *οὕτως δ' ἐπὶ* VM et (*δὴ*) Ω; *εἴρηται δὲ καὶ ἐπὶ* OΔ ‖ 4 *γυναικὸς* Δ ‖ 10 *λόγος* suspectum ‖ 17 annexum scholio p. 29, 12 V (*τῶν λαπιθῶν γάρ τις γ.*) ‖ 18. 19 *εἷς δὲ τῶν κεντ. ὁ εὐρ.* V ‖ 21 *οὖν αὐτὸν οἱ λαπ. ἀπέτ. αὐτ. τὴν ῥ.* V ‖ 22 *καὶ* codd.; *κατὰ* Solanus | *κενταύροις* VOΩ et (*τοῖς κ.*) Δ; *τῶν κενταύρων* Γ ‖ 29 *πλούσιοι* vix sanum; fort. ad *καίνουσι* ascriptum erat *πλη-*

18. *Ψευδοσοφιστὴς ἢ Σολοικιστής.*

⌜Σοφιστήν τινα εἰσάγει ἀπαίδευτον μεγάλα φρονοῦντα καὶ ἐπαγγε⌝λλόμενον ἅπαντα εἰδέναι τὰ σόλοικα. ὁ οὖν *Λουκιανὸς* βουλόμ⌜ενος αὐτὸν⌝ ἐλέγξ⌜αι μηδὲν εἰδότα ἑαυτὸν⌝ εἰσήγαγε σολοικίζοντα καὶ διὰ τοῦτο ψευδοσοφιστὴν αὐτὸν ὠνόμασεν. ἐπίτηδες οὖν αὐτὸς ὁ *Λουκιανὸς* σολοικίζει, ἵνα δείξῃ τὸν σοφιστὴν μὴ δυνάμενον ἐλέγξαι τὸν σολοικίζοντα. ∼ Γ⌜V⌝MOUΩ

1 ἄρτι*] τὸ ἄρτι μέλλοντι οὐ συνάπτεται· οὐκ ἄρα λέγομεν ‘ἄρτι σολοικῶ’. ∼ ΓVMOUΩ

ἃ μέν*] ἐχρῆν εἰπεῖν ‘τὰ μὲν τὰ δέ’. ∼ ΓVMOU

ὄφελον*] τὸ γὰρ ὄφελον οὐδέποτε μέλλοντος συντάττεται ἀπαρεμφάτῳ ἢ ὑποτακτικῷ, ἀλλ’ ἐνεστῶτος ὁριστικῷ ἢ ἀπαρεμφάτῳ ἢ εὐκτικῷ, ὡσαύτως καὶ παρῳχημένῳ. ἔδει οὖν εἰπεῖν ‘ὄφελον ἀκολουθεῖν δυνηθῆναι’, καὶ μάλιστα, ὅτι καὶ τὸ νῦν πρόσκειται, ὃ οὐδέποτε οὐδὲ αὐτὸ μέλλοντι συντάσσεται. διττῶς οὖν ἐν τῷ ἑνὶ σεσολοίκισται· διὸ καὶ λέγει, ὅτι τρὶς σεσολοίκισται. ∼ ΓVMOUΩ

2 ἆθλον*] ἐπὶ τοῦ ἀγῶνος οὐ λέγεται τὸ ἆθλον οὐδετέρως ἀλλ’ ἀρσενικῶς. ∼ ΓVMOUΩ

ἔμπροσθεν*] κακῶς τὸ εἰς τὸ ἔμπροσθεν προσέθηκεν· οὐ γὰρ λέγεται τοῦ προβαίνοντός τι ἔμπροσθεν ἄλλο. ∼ ΓVM OUΩ. Addunt VMOUΩ: κακῶς οὖν τὸ εἰς τὸ ἔμπροσθεν, ἐπεὶ πρόϊθι φησίν. ∼

3 μεθῆκα* θεῖν λαγώ] τοῦτο σόλοικον γενικῇ χρῆσθαι ἀντὶ αἰτιατικῆς· ὁ λαγώς γάρ, τοῦ λαγώ ἡ γενική, ἡ δ’ αἰτιατικὴ τὸν λαγών μετὰ τοῦ ν̄, ἀλλ’ οὐ χωρὶς τοῦ ν̄. ∼ ΓVMOUΩ

ροῦσι, quod in margine exemplaris mei enotatum inveni ex codice nescio quo, inde autem *πλούσιοι* ortum

5 αὐτὸν ὠν. codd. (i. e. *διάλογον*; vix recte) ‖ 15 καὶ μ. — 18 σεσολοίκισται add. m2Γ ‖ 19. 20 οὐδετέρως ἀλλ’ ἀρσενικῶς O; om. V; οὐδε της ⌞ἄλλης ἄρσεως in ras.⌟ Γ, cf. MUΩ ‖ 20 fort. ἀλλ’ ⟨ὁ ἆθλος⟩ ἀρσ. ‖ 23 οὖν καὶ εἰς V ‖ 25 καὶ τοῦτο VMOUΩ ‖ 26 fort. γὰρ ⟨ἡ εὐθεῖα⟩

πρόσεστιν*] ἐπειδή, φησίν, οὐ πρόσεστι τῷ σολοικισμῷ, εἰς τίνα ἐσολοίκισα, τούτου χάριν οὐκ ἔγνως τὸν σολοικίζοντα. ~ ΓVMOUΩ

τίτθας* θηλαζόντων] ἡ τίτθη θηλάζει, ὁ δὲ ἀντιστρέψας ἔφη 'τὰ παιδία θηλάζει'. ~ ΓVMOUΩ

αὐξάνοντα*] αὐξανόμενα γὰρ ἔδει εἰπεῖν παθητικῶς, ἀλλ' οὐκ ἐνεργητικῶς. ~ ΓVMOUΩ

οὐδὲν γνωσόμεθα: ὤφειλε γὰρ καὶ τὸν δυνητικὸν προσθεῖναι σύνδεσμον τὸν ἄν, οἷον εἰ ταῦτα ἀγνοήσομεν, οὐδὲν ἂν γνῶμεν οὐδὲ γνωσόμεθα· νῦν δὲ διπλῇ σεσολοίκισται, καὶ τῇ ἐλλείψει τοῦ ἄν καὶ τῇ τοῦ μέλλοντος χρήσει τοῦ γνωσόμεθα· οὐδέποτε γὰρ τοῖς δυνητικοῖς μέλλοντες συντάττονται. ~ VΣMOUΩ

τῶν ἑαυτῶν] ἢ ἄμεινον ολοσ? α? να κατανοεῖν τὸ τῶν ἑαυτῶν· οὐδέποτε γὰρ οὕτω λέγομεν τῶν ἑαυτῶν, καὶ μάλιστα [cr. VII litt.] ἀναλλ[cr. XX litt.]. ~ O

ᾧ συνεγενόμην ἐν Αἰγύπτῳ*] πόσους παῖδας ἔτεκες; ~ V

ἔξεισιν*] τὸ ἔξεισι δηλοῖ τὸ σήμερον· ἐνεστῶτος γάρ. τί οὖν, φησίν, ἐρωτᾷς τὸ πότε ἔρχεται, εἰ αὐτόθεν; ~ ΓVMOUΩ

πατρῷα*] πατρικὰ ὅταν εἴπωμεν, τὰ τοῦ πατρὸς λέγομεν ζῶντος τοῦ πατρός, ὅταν δὲ τὰ πατρῷα, τεθνηκότος. ~ ΓVMOUΩ

πατριώτης*] ὁμοήθης γὰρ ἔδει εἰπεῖν, ὁμόγλωσσος, ὁμόνομος. τὸ δὲ πατριώτης ἐπὶ βαρβάρων· οἱ βάρβαροι γὰρ οὕτως ἀλλήλους φασὶν ἀντὶ τοῦ πολίτης, καὶ ἴσως ὅτι μὴ κατὰ πόλεις οἰκοῦσιν. Πλάτων μέντοι καὶ ἐφ' Ἑλλήνων ἐν τοῖς Νόμοις [VI 771 D] τῷ πατριώτης ἐχρήσατο. ~ ΣCVMOUΩ

---

8 sch. paene evan. Γ ‖ 10 οὐχὶ pro οὐδὲ MU ‖ 14 fort. σολοικισθὲν latet ‖ 18 ἐνεστὸς τὸ Γ ‖ 19 εἰ scripsi; ἢ codd. ‖ 21 πατρῶα ὅταν Γ ‖ 24 fort. ὁμοεθνής; cf. lin. 28 ann. ‖ 25 C inc.: ὅτι οἱ βάρβαροι πατριότης λέγουσιν ἀντὶ κτλ. ‖ 27 οἰκοῖεν Γ | πλάτων δὲ C ‖ 28 C post ἐχρήσατο addit: δεῖ δὲ λέγεσθαι ὁμόεθνος (ης sup. m. post.) ὁμόγλωσσος ὁμόνομος

*μεθύσης**] *μέθυσος γάρ, ἀλλ' οὐ μεθύσης.* ~ VMOUΩ

*λῆμμα**] *λῆμα γὰρ ἡ ἀνδρεία δι' ἑνὸς μ̄.* ~ VMOUΩ

μεῖραξ οὕ φασιν ἐπὶ ἀνδρὸς λέγεσθαι, ἀλλ' ἐπὶ γυναικὸς ἡβώσης· ἐπὶ δὲ ἀνδρὸς μειράκιον λέγεται. ~ f2CVMOUΩ

*δεδίττομαι**] *τὸ γ|ὰρ| δ|ε|δ|ίττομαι| ἐνέργειαν οὐ πάθος σημαίνει.* ~ |Γ|CVMOUΩ 5

κορυφαιότατος] *τὸ γὰρ κορυφαῖος ὑπερθετικὸν οὐ δέχεται, ὥσπερ οὐδὲ τὸ ἀγαθός.* ~ Γ

ἐξορμῶ: |*ἐνέργειαν σημαίνει, οὐκ αὐτο|πάθειαν.* ~ C|f2|VMOUΩ 10

*συνετάξατο**] *ἐπὶ γὰρ στρατοπέδ|ου| τ|οῦ|τ|ο δια|θέσε|ως| λέγεται· ἑ|φ' οὗ|| δὲ |β|ούλεται |οὗ|το|ς|, ὑπέσχετο φασίν.* ~ |f2|CVMOUΩ

περιέστην αὐτόν*] *ὑπηγαγόμην γὰρ ἔδει εἰπεῖν ἢ μετῆλθον αὐτόν· τὸ γὰρ περιέστην ἐπὶ τοῦ κύκλῳ λέγεταί τινα περιέχειν.* ~ f2CVMOUΩ 15

*συνεκρίνετο**] *συν|εδικ|άζετο γὰρ ἔδει εἰπεῖν |ἢ ἡμφ|ισβήτει, ἀλλ' οὐ συνεκρίνετο· τὸ γὰρ συγκρίνεσθαι ἐπὶ τοῦ πυκνοῦσθαι ἡ δο|κίμη χρῆσις τῶν Ἑλλήνων| οἶδεν.* ~ |f2|CVMOUΩ 20

6 *νῶι** *τοῦτο δοκεῖ κτλ.*] *τὸ γὰρ νῶι εὐθείας καὶ αἰτιατικῆς, ἀλλ' οὐ γενικῆς καὶ δοτικῆς, τὸ δὲ δοκεῖ δοτικὴν ἀπαιτεῖ. καλῶς οὖν παίζων αὐτὸν εἴρηκεν ὡς "σὺ καὶ νῶιν ἐρεῖς, ὡς ἁμαρτάνομεν", ἀντιστρέψας τὴν σύνταξιν*

---

1. 2: signa in textu Γ, fort. schol. evan. ‖ 3 *μεῖραξ γὰρ* Γ; *ὅτι τὸ μ.* C ‖ 4 *λέγουσιν* V ‖ 5 C inc. *ὅτι τὸ δεδ.*; VMOU inc. *τοῦτο ἐνέργ.* ‖ 7 cf. sch. De paras. 42 ‖ 9 *ἐνέργ. γὰρ σημ. τὸ ἐξορμῶ ἀλλ' οὐκ* V et (om. *ἀλλ'*) MOUΩ ‖ 11 C inc.: *ὅτι τὸ συνετ. ἐπὶ στ.*; VMOΩ inc.: *ἐπὶ στ. γὰρ τοῦτο διαθ.* ‖ 12 *ἑφ' οὗ κτλ.* om. C | *βούλεται* Laur. 32, 13 et, ut vid., Γ; *βούλ|ε|ται* V; *λέγεται* MOΩ | *οὗτος* Laur. 32, 13; *οὕτω* vel *οὕτως* VMOΩ | *φησιν* ΓV Laur. 32, 13; om. cet. ‖ 16 *περισχεῖν* CV ‖ 17 *συνεδ. δὲ* λ^{ϵ} *ἢ* C ‖ 21 *εὖ* VOU; *εὐθεία* M | *αἱ* O; *αἰτιατικῆ* V; *αἰτιατικὴ* MU; eadem lectionis varietas est lin. 22 ‖ 24 *ἀντιστρέψας* — p. 39, 1 *ὡς ἁμαρτ.* om. V

ἡμῖν ἐρεῖς, ὡς ἁμαρτάνομεν'· ἔδει γὰρ εἰπεῖν ἡμῖν ἁμαρτάνομεν, ἐρεῖς', τουτέστιν ἡμᾶς, ἀλλ' οὐχ ἡμῖν. ~ ⟦2VMOUΩ

μιχθεῖσα*] ἐμίχθη γὰρ ἀνήρ, φαμέν, γυναικί, οὐχὶ τὴν γυναῖκα τῷ ἀνδρί. ~ V⟦2CMOΩ

καρῆναι*] τὸ κείρασθαι γὰρ ἐπὶ τοῦ κοσμίως, τὸ δὲ καρῆναι ἐπὶ τοῦ ἀτίμως καὶ μετὰ ὕβρεως. ~ ⟦2CVMOΩ

ζυγομαχεῖν*] ἐπὶ γὰρ τῶν φιλίως διαλεγομένων ἐρεσχηλεῖν λέγεται ἢ φιλονεικεῖν ἢ ἀμφισβητεῖν, ἐπὶ δὲ τῶν ἐχθρῶς ζυγομαχεῖν ἢ διαδικάζεσθαι. ~ ⟦2CVMOΩ

βασανίζεσθαι*] βάσανος γὰρ ἐπὶ τῆς δοκιμασίας λέγεται καὶ ἐπὶ κολαζομένων διὰ τιμωρητικῶν ὀργάνων. ~ ⟦2CVMOΩ

μελετήσει*] οὐ γὰρ ἀξιοῦσιν Ἀττικοὶ ἐπὶ τοῦ ῥήματος τούτου ἐνεργητικῶς ἐκφέρειν ἀλλὰ παθητικῶς τὸν μέλλοντα· οὐ γάρ φασι μελετήσω ἀλλὰ μελετήσομαι. ~ ⟦2VMOΩ

τεθνήξῃ*] τεθνήξεται γὰρ ἐχρῆν λέγειν ἐπὶ τοῦ τρίτου, ἀλλ' οὐ τεθνήξῃ ἐπὶ δευτέρου. ~ ⟦2CVMOΩ 7

στοχάζομαι*] τὸ γὰρ στοχάζεσθαι ἐπὶ τοῦ ἀκριβοῦν τάττεται τὴν βολὴν ἢ τοῦ τεκμαίρεσθαι. ~ ⟦2CVMOΩ

χρᾶσθαι*] ὅτι χρῆσθαι λέγουσιν οἱ Ἀθηναῖοι, οὐχὶ χρᾶσθαι διὰ τοῦ ᾱ. ~ ΓCVMOΩ

ἔκτοτε*] ἐξ ὅτου γὰρ τὸ δόκιμον. ~ ⟦2CVMOΩ

ἀντιλαμβάνομαι: τὸ γὰρ ἀντιλαμβάνεσθαι Ἀττικοὶ ἐπὶ τοῦ κωλύειν ἢ ἀντέχεσθαι τάττουσι καὶ μάλιστα Πλάτων. ~ V⟦2CMOΩ

βαρεῖν] βαρύνω γὰρ λέγουσιν, ἀλλ' οὐ βαρῶ. ~ ⟦2 φακόν*] ὁ γὰρ φακὸς ἐφ' ἑνὸς εἴρηται καὶ ὠμοῦ, ἐπὶ δὲ τοῦ ἑψητοῦ φακῆ λέγεται. ~ V⟦2CMOΩ

---

1 καὶ νῦι V ‖ 3 ὅτι ἐμ. ἀν. γυναικί φαμεν C ‖ 3. 4 τὴν γυναῖκα Γ; τὴν om. C; γυνὴ VMOΩ ‖ 4 τῷ om. CVMOΩ ‖ 7 ἐρεσχελεῖν O; cf. sch. Δ in Musc. laud. 10 ‖ 8 ἀμφ. ἢ φιλ. CV ‖ 8. 9 ἐχθρῶν CMΩ ‖ 15 τεθνήξει Luc. | C inc.: ὅτι τεθν. $\lambda^{\text{ε}}$ ἐπὶ τ. τρ. προσώπου ἀλλ' κτλ. ‖ 15. 16 τρίτου, τεθνήξῃ δὲ ἐπὶ MOΩ ‖ 19 V inc.: χρ. γὰρ | οἱ om. C | οὐχὶ κτλ. om. V ‖ 19. 20 ἀλλ' οὐ χρ. (om. διὰ — ᾱ) C ‖ 23 καὶ om. V | ὁ πλ. CVM ‖ 26 cf. sch. Icarom. c. 18

8 *νῦν δυνήσομαι**] βούλεται τὸ νῦν μέλλοντι μὴ συντάττεσθαι. ἐπεὶ οὖν τὸ δυνήσεσθαι μέλλοντος, ἐπιλαμβάνεται αὐτοῦ ὡς μὴ συνιέντος σολοικίσαντα. ~ ΓVMOΩ

*τὸ ἀνέῳγεν βούλονται μὴ λαμβάνεσθαι ἐπὶ παθητικῆς διαθέσεως. ἀλλ' οὐκ ἀκριβῶς τοῦτο· χρῆται γὰρ μετὰ πολλῶν καὶ ἄλλων ὁ Πλάτων παθητικῶς ἐν Φαίδωνι [59 D] "ἀνεῴγετο" λέγων "ἡ θύρα οὐ πάνυ πρωί". ~ ΓCVMOΩ

ἱππεῖς εἰς πεδίον καλεῖν*] καὶ τοῦτο παρὰ τὴν συνήθειαν· ἵππον γὰρ εἰς πεδίον φαμὲν καλεῖν, ἀλλ' οὐχ ἱππεῖς. ~ VΓMOΩ

9 *μαντεύεται**] χρᾷ μὲν ὁ Ἀπόλλων, μαντεύεται δὲ ὁ προσιών. ~ ΓCVMOΩ

*καθεῖς**] οὐ γὰρ καθεῖς ἀλλὰ καθέκαστος δεῖ λέγειν. ~ ΓVMOΩ

*μνηστευόμενον**] ἐπὶ ⌊γυν⌋αικὸς τ⌊ὸ⌋ μνηστεύ⌊εσθαι⌋, ἐπὶ δὲ ἀνδρ⌊ὸς⌋ τὸ μνᾶσθ⌊αι⌋· μνᾶται μὲν γὰρ ⌊ἀνὴρ⌋ γυναῖκα, μνη⌊στεύεται δὲ γυνή⌋. ~ V⌊Γ⌋CMOΩ

*ἀπολείποι**] ἀπολείπει γὰρ γυνὴ τὸν ἄνδρα, ἐρεῖς, ἀνὴρ δὲ γυναῖκα οὔ, ἀλλ' ἐκβάλλει καὶ ἀποπέμπεται. ~ VΓCMOΩ

*ψοφοίη**] κόπτει μὲν γὰρ τὴν Θύραν τις ἑστὼς ἔξω, ψοφεῖ δὲ ὁ ἔσω. ~ VΓCMOΩ

*τὸ νῦν δή Πλατωνικόν ἐστι σημαῖνον τὸ ἄρτι. ὥσπερ οὖν τὸ ἄρτι διὰ τὸ ἀκαριαῖον τῆς σημασίας τοῦ ἐνεστῶτος μέλλοντος ἀνεπίδεκτον σημασίας, οὕτως καὶ τὸ νῦν δή πρὸς τὸ γενήσομαι ἀσυνάρτητον, ἵνα μὴ σολοικίζοι ὁ χρώμενος οὕτως. ~ ΓVMOΩ

---

1 *μὴ* om. Γ | *συντάττεσθαι* MOΩ; *συντάττειν* Γ; *συν*$^{\bar{\nu}}$ V || 3 *σολοικίσαντος* Γ || 4 cf. sch. Gall. 32 || 5 fort. *ἀκριβὲς* || 6 *καὶ* om. C | *ἄλλων πολλῶν* V || 7 *ἀνέωγε* O | *πάνυ* om. Plat. || 13 *καθ' ἕκαστον* MOΩ || 15 *τὸ* om. C || 16 *ἀνδρῶν* V | *μνᾶσθαι* λ^{ϵ} C | *μὲν* om. C || 18 *ἐρεῖς* Γ; *ἐρεῖ* V; λ^{ϵ} C || 19 *καὶ ἀποπέμπεται* om. CVMO || 20 *ὁ ἔξω τις ἑστώς* C et (om. *ὁ*) V || 22 *ἀρτίως* (ante *ὥσπερ*) VMO, cf. Phot. || 24 *πρὸς* MOΩ; *παρὰ* Γ; *εἰς* V || 25 *σολοικίζῃ* MOΩ

19. *Κατάπλους ἢ Τύραννος.*

εἶεν: ἔστι καὶ ἀντὶ τοῦ ταῦτα μὲν δὴ οὕτως, ἐπίρρημα 1
ἀφοριστικόν· ἐπὶ γὰρ τοῖς ἤδη εἰρημένοις ἐπιλεγόμενον
περιορίζει αὐτά. ἔστι δὲ καὶ παρακελεύσεως ἀντὶ τοῦ ἄγε
δή, ὡς ἐνταῦθα. ~ VφM

ὦ* Κλωθοῖ] τρεῖς λέγουσιν εἶναι τὰς Μοίρας, Κλωθώ,
Λάχεσιν καὶ Ἄτροπον. ἐνταῦθα οὖν ποιεῖ τὸν Χάρωνα
πρὸς μίαν τῶν Μοιρῶν τὴν Κλωθὼ προσδιαλεγόμενον. ~
ΔF2CVφNOUΩ

— : περισπᾶται, διότι ὠμοφώνησε τῇ δοτικῇ τῶν ἑνικῶν·
πᾶσα γὰρ πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει καὶ τὸν τόνον
αὐτῆς ἔχει. ~ O

ἀναγωγήν*] ἀνάπλουν. ~ ΓVNOUΔ

ἄντλος*] τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ. ~ ΓVφNOUΩΔ

παρακέκρουσται*] εἴ τι εἶχεν ἐσχισμένον, ὑφάνθη. ~
ΓVφNOUΩΔ. Addunt VφNΔ: τοῦτο γὰρ σημαίνει καὶ
παρὰ τοῖς νῦν ναύταις τὸ παρακέκρουσται. ~

παρακέκρουσται: οὕτω φασὶν ἰδίως τὸ τὴν ὀθόνην τῇ
κεραίᾳ συμβαλεῖν Ἀθηναῖοι. ~ F2CVφΔ

τετρόπωται*] ἐν τῷ τροπωτῆρι ἐμβέβληται. ~ ΓVφNΔ.
Addunt VφΔ: τροπωτὴρ δέ ἐστι λῶρος, εἰς ὃν τὴν κώπην
ἐμβάλλουσιν. ~

Ἑρμῆς*] τοῦτον γὰρ λέγουσιν εἰς τὸν Ἅιδην διακομίζειν
τὰς τῶν ἀποθανόντων ψυχάς. ~ ΓNUΩΔ

ἀμφὶ βουλυτόν*] περὶ ἑσπέραν, ὅτε τοὺς βόας λύουσιν. ~
ΔVφN

ὁ Πλούτων: ὁ τῶν καταχθονίων βασιλεύς. ~ Δ

---

4 παρακελευσματικὸν M ‖ 6 ὅτι τρεῖς εἰσιν αἱ κτλ. C ‖ 7 καὶ om. VΔ | ἄτραπον Δ, cf. C (ἄτραπος) | ἐνταῦθα κτλ. om. C ‖ 15 ὑφάνθη Δ; ὑφαν cet.; vix sanum ‖ 16 τοῦτο Δ; οὕτως Vφ ‖ 17 νῦν om. Vφ | coni. sch. 18 (καὶ οἱ ἀθηναῖοι οὕτως) Vφ | ἰδίως om. Δ ‖ 19 συμβάλλειν οἱ C; συμβαλλεῖν (om. Ἀθηναῖοι) V | 20 ἐμβέβληται Γ ‖ 25 πρὸς ἑσπέραν Δ

ἐμπεπολήκαμεν: *ἐκερδάναμεν*. ~ Nφ

*ἐφήβων**] *ἔφηβοι καλοῦνται οἱ ἀπὸ ιή ἐτῶν νέοι ἄχρι τῶν εἴκοσι*. ~ ΔVφ

ἢ λόγους τινάς: *ἐπειδὴ ῥητορικῆς ὁ Ἑρμῆς ἔφορος λέγεται*. ~ ΔVφ

*κλωπεύει**] *λέγεται γὰρ τῶν κλεπτῶν προϊστασθαι ὁ Ἑρμῆς*. ~ ΓVφOUΩΔ

*ἐξ ἡμισείας**] *τὸν γὰρ Ἑρμῆν καὶ τοῖς ἄνω καὶ τοῖς κάτω συναριθμοῦσι καὶ τοῦτο νῦν διαπαίζει*. ~ VΠφOUΩΔ

2 *ἀσφόδελος*: *εἶδος βοτάνης*. ~ ΔVφ. Addit Δ: *ἐδώδιμον*. ~

*χοαί**] *τὸ ἐπιχεόμενον τοῖς ἀποθανοῦσι μελίκρατον*. ~ ΓCVφOUΩΔ

πόπανα: *εἶδος πλακοῦντος*. ~ ΔVφ

ἐναγίσματα: *τὰ προσφερόμενα τοῖς νεκροῖς εἰς τιμὴν θύματα*. ~ ΔVφ

ἀμβροσία: *τὸ τῶν θεῶν βρῶμα*. ~ ΔV

νέκταρ: *τὸ τῶν θεῶν πόμα*. ~ ΔV

*βάδην**] *ῥέμα παραγενομένου. σημαίνει δὲ καὶ τὸ θᾶττον καὶ τὸ ταχέως*. ~ Δ

3 *αἰπόλιον*: *αἰγῶν ἀγέλην*. ~ Δ

*σοβῶν**] *κομπάζων, διώκων*. ~ ΔVφ

*δεδεμένον**] *τὸν τύραννον λέγει Μεγαπένθην*. ~ ΓVOUΩΔ

*γελῶντα**] *Μίκυλλον πένητα*. ~ ΓVUΩΔ. Addit Δ: *τὸν σκυτοτόμον*. ~

*πήρᾳν ἐξημμένον**] *τὸν Κυνίσκον, ὅ ἐστι Κυνικὸν φιλόσοφον*. ~ ΓVOUΩΔ

ἐξημμένον: *βαστάζοντα*. ~ ΔV

---

1 *ἐκερδήσαμεν* N ‖ 2 *ις΄* φ; cf. sch. Phal. I 3 ‖ 9 *τοῦτον* VΔ | *οὖν* V ‖ 12 *χοαί εἰσι τὸ* C | *νεκροῖς* V ‖ 14 *πλακουντίου* Δ 17 coni. sch. 18 (*νέκταρ δὲ*) V ‖ 19 cf. sch. De merc. cond. 26 | *παραγενομένου* sic Δ; scholiasta temere transscripsit, cf. Etym.: *βάδην ἀπιόντος· ῥῆμα παραγινομένου κτλ.* ‖ 22 *κομπάζων* scripsi coll. Phot. s. v. *σοβεῖ*; *καταπαύων* Δ; om. Vφ ‖ 24 *μίκυλλον φησὶ π.* Δ ‖ 26. 28 *τ. κυν. λέγει* (om. *ὅ* — *φιλ.*). *ἐξημμένον δὲ* V

*κεκονιμένον**] κονιορτοῦ πεπληρωμένον. ~ VφΔ
λειπόνεως: ὁ καταλιμπάνων τὴν ναῦν. ~ Δ
ἀνακωκύει] ὁ Κωκυτὸς φωνῆς ἐστι μίμημα. *λέγουσι δὲ καὶ Ἀλίβαντα πάλαι τινὰ εἶναι ποταμὸν ἀπὸ τοῦ ἅπαντα κατα-*
ξηραίνειν καὶ μὴ λιβάδα ἔχειν. ~ Δ
*νήματος**] *λέγουσι γάρ, ὡς ἐν ἀτράκτῳ στρέφει ἡ Κλωθὼ νῆμα τῆς ἑκάστου ζωῆς ὡς συμπληροῦσθαι τὸν τῆς ζωῆς ἑκάστου χρόνον τῷ νήματι*. ~ ΓVφOUΩΔ
Ἄτροπός ἐστι μία τῶν Μοιρῶν ἡ τὰ γινόμενα μὴ συγχω- 4
ροῦσα τρέπεσθαι. διὸ καὶ ταύτην λέγουσι παραδιδόναι τοὺς ἀποθνήσκοντας τῷ Ἑρμῇ. ~ ΓVφOUΩΔ
ἀντερείδων: *ἀντιβαίνων*. ~ ΔV
εὐάγωγος: *εὐχερής*. ~ ΔV
*στόμιον**] *ἐν Ταινάρῳ ἀκρωτηρίῳ τῆς Λακωνικῆς λέγουσιν εἶναι τὸ στόμιον, ἀφ' οὗ τοὺς νεκροὺς ἐπὶ τὸν Ἅιδην κατέρχεσθαι*. ~ ΓVφOUΩΔ
*ἀπαριθμοῦντος**] *ἀριθμοῦντος*. ~ ΓVOUΩ. Addit V: *μετροῦντος*. ~
*Αἰακῷ**] ὁ *Αἰακὸς υἱὸς λέγεται τοῦ Διός, καὶ τοῦτον, ὥς φασιν, ἐπέστησεν τοῖς καταχθονίοις ἐπισκοπεῖν*. ~ ΓVOUΩΔ
λαθών] *ἀγνοηθείς*. ~ V
*ἐνέδει**] *ἐνέλιπεν*. ~ ΓVφOUΩΔ
*τῷ λογισμῷ**] *τῷ ἀριθμῷ*. ~ ΓVOUΩΔ. Addit V (cf. K): *λογαριασμῷ*. ~
ἅλις σοι: *ἀρκεταί*. ~ ΔV
παραλελόγισται: *παρηρίθμησεν*. ~ ΔVφ
συνείς] *νοήσας*. ~ V
αὐθαίρετος: *ἐξ ἰδίας γνώμης*. ~ ΔV
*ὕσπληγος**] *ἀφετηρίας*. ~ ΓVUΩΔ
ὀλιγωρίαν] *ῥᾳθυμίαν*. ~ V 5

3 ὁ om. Laur. 57, 13 ‖ 4 *ποταμὸν* Etym. s. v. *Κωκυτός*; *ποτε* Δ ‖ 5 *μηδὲ* Etym. ‖ 6 *στρέφειν* ΓV ‖ 7 *τὸ νῆμα* V ‖ 9 *ἄτροπός* ΓΔ ‖ 17 ad *λογιζομένου* relat. VOUΩ ‖ 22 *ἐνέλειπεν* ΔO; *ἔλειπε* UΩ

διαμέλλομεν] *βραδύνομεν.* ~ V

*ἀποβάθραν**] *οὕτω καλεῖται ὁ τῆς νεὼς τόπος, δι' οὗ ἐπὶ τὴν γῆν ἐξερχόμεθα ἢ εἰσερχόμεθα.* ~ ΓCVφOUΩΔ

*εὐαγρίας**] *καλῆς ἄγρας.* ~ ΓVφΔ

*ὀμφακίας**] *ἀνεψήτους, ὅ ἐστι μικρούς.* ~ ΓVφOUΩΔ. Addit O: *ἀώρους.* ~

τὰ πρὸ Εὐκλείδου νῦν ἐξετάζουσαν: παροιμία. — ἐν τῷ Πελοποννησιακῷ πολέμῳ οἱ Λακεδαιμόνιοι τῶν Ἀθηναίων περιγενόμενοι τριάκοντα τυράννους ἔστησαν παρ' αὐτοῖς, οἵτινες παραλαβόντες τινὰς τῶν πολιτῶν μετὰ ταῦτα κακῶς ἐκέχρηντο τοῖς λοιποῖς. καταλυθέντων οὖν τῶν τυράννων καὶ γενομένου μετ' αὐτοὺς Εὐκλείδου ἄρχοντος, ἵνα μὴ μνησικακήσωσιν ἀλλήλοις οἱ πολῖται, συνθήκας ἐποίησαν ὥστε τὰ πρὸ Εὐκλείδου ἄκυρα εἶναι. τοῦτο οὖν λέγει νῦν ὅτι 'τῶν πάνυ γερόντων ἀναζητῆσαι τὸν βίον οὐ βούλομαι'. ~ CΓVφOUΩΔ

*βεβυσμένοι**] *πεφραγμένοι.* ~ ΓVUΩΔ

*ἀράμενον**] *κουφίσαντα.* ~ ΔV

*τακεροί**] *τακέντες.* ~ ΓVΩΔ

*καθ' ὥραν τετρυγημένοι**] *ἡψημένοι ἐν τῷ δέοντι καιρῷ.* ~ ΓVOΔ

6 *τυμπάνου**] *τύμπανόν ἐστι ξύλον, ἐν ᾧ τοὺς καταδίκους ἐφόνευον.* ~ ΓVφOUΩΔ

7 *Ἑκάτης** *τὸ δεῖπνον κτλ.*] *ὡς ἔοικεν, ἐν τῷ τῆς Ἑκάτης δείπνῳ ταῦτα παρατιθέναι εἰώθεσαν. ἡ δὲ Ἑκάτη μία ἐστὶ τῶν παρ' Ἕλλησι θεῶν.* ~ ΓVφUΩΔ

*τὰ ἐκ τῶν καθαρσίων ᾠά**] *ἐν οἷς καθήροντο.* ~ ΓVφΩΔ

---

2 cf. sch. Dial. mort. XX 1 ‖ 4 *τῆς κ.* VΔ ‖ 7 *ἐξετάζοντα* C, *παροιμία* C; om. cet. ‖ 10 *μεταῦ* Γ ‖ 12 *γινομένου* C ‖ 15 *τοῦτο* — 16 *βούλομαι* om. C ‖ 19 *τετηγμένοι* Ω ‖ 20 *ἑψημένοι* codd.; vix sanum ‖ 24 cf. sch. Vit. auct. 7. Mort. dial. I 1 ‖ sch. 24. 27 coni. Vφ (*ὰ δὲ λέγει ἐν οἷς κ.*) ‖ 27 *τὰ ὰ ἐν οἷς ἐκαθήροντο* Δ | *ἐκαθαίροντο* Ω, at cf. sch. De sacr. 12

*ὅλον μοι τὸν ἄτρακτον** *ἐπέκλωσας*] *ἀντὶ τοῦ ὅλον τὸν ἄτρακτον ἐπ' ἐμοὶ ἔκλωσας.* ~ ΓVUΩ

*ἐπίβαινε**] *τουτέστιν ἄνελθε εἰς τὸ πλοῖον.* ~ ΓVφΔ 8

ἡμιτελὴς γὰρ ὁ δόμος] εἰς Πρωτεσίλαον ἀποσκώπτει. ~ VφUΩΔ. Addit Δ: *οὗ καὶ Ὅμηρος* [*B* 701] *κατὰ ταὐτὰ μέμνηται.* ~

*ἄραρεν**] *ἔδοξεν.* ~ ΓVUΔ

ἐπιβιώσεται] *ἐπιζήσεται.* ~ V

*πρός**] *πρὸς τούτοις.* ~ Γ

—] *καὶ ἐν τούτοις.* ~ V

*ἐξήκει**] *ἀντὶ τοῦ παρῆλθεν. οὕτω καὶ τοῦ ἐξήκοντός φαμεν χρόνου ἀντὶ τοῦ παρελθόντος.* ~ ΓVφUΩΔ

*ἐπισήμου**] *ἐσφραγισμένου.* ~ ΓVφΩΔ 9

*ἀπέφθου**] *εὐρύζου.* ~ ΓVφ

*εὔγνωμον**] *εὔλογον.* ~ ΓVUΩΔ

εἰς τοσοῦτον] *ἐπὶ τοσοῦτον.* ~ Vφ

*ὑπάγωμαι**] *ὑποτάξω.* ~ ΓVφUΩΔ

Ἄντανδρον] *ὄνομα κύριον.* ~ V 10

ἐγκαταλεγήσεται] *συγκαταριθμήσεται.* ~ VφΔ 11

*τίς** *γὰρ ἦν σοι φίλος] δι' ἑνὸς τούτου πᾶσαν τὴν τῶν τυράννων ἐμφανίζει οὐδένειαν καὶ ὅπως οὐδεὶς φίλος ἀλλὰ κόλακες πάντες αὐτῶν τὸν καιρὸν ἐξωνούμενοι.* ~ VφUΩΔ

ἐπεὶ τάχιστά με: ἔθος Ἀττικοῖς οὕτω χρῆσθαι ἐπὶ τῶν 12 *ἀνυπερθέτως καὶ παρευθὺς γινομένων. ἀντὶ τοῦ εἰπεῖν 'ἐπεὶ ἀπέθανον, εὐθὺς τοῦτο εἴργασται' εἶπεν "ἐπεὶ τάχιστά με ἀποθανόντα εἶδεν", ὡς καὶ ἀλλαχοῦ 'ἐπεὶ τάχιστά μοι ἐξεγένετο, τόδε καὶ τόδε ἔπραξα'· ἀντὶ γὰρ τοῦ 'ἅμα τῷ γενέσθαι εὐθὺς ἔπραξα'.* ~ [2]VφUΩΔ

*Γλυκέριον**] *ὑποκοριστικὸν τῆς Γλυκερίας Ἀθηναίων ἔθει·*

---

4 *δοκῶ μοι* ante *ἀποσκ.* add. Δ, *δοκεῖ* add. UΩ ‖ 10 fort. *ἐπὶ* ‖ 14 *εὑρίζου* V; *εὐρρίζου* φ ‖ 18 in textu *αὔτανδρον* a scholiasta ex *ἄντανδρον* corr. V ‖ 19 *συναριθμηθήσεται* Δ ‖ 22 *αὐτὸν* Δ ‖ 24 *ἀντὶ οὖν τοῦ* VΔ ‖ 28 fort. *ἐκγενέσθαι* ‖ 29 *ὅτι γλ. ὑποκοριστικῶς εἴρηται ἀντὶ τῆς γλ. ἀθ. δὲ ἔθει· αὐτοὶ κτλ.* C | cf. sch. Dial. mer. II 1 *Γλυκέρα*

αὐτοὶ γὰρ τὰ θηλυκὰ ὀνόματα οὕτως ὑποκορίζονται τὴν Εὐφημίαν Εὐφήμιον λέγοντες καὶ τὴν Εὐπραξίαν Εὐπράξιον. ~ ΣCVΦΨΩΔ

— : *Ἀττικὰ ὑποκορίσματα, ἅπερ ὡς ἐπίπαν εἰσὶν ἑταιρικά, Ἀπφίδιον, Φιλίτιον, Ψυχίδιον, Στρούθιον, Ἐρώτιον, Πώλιον, Χρυσάριον καὶ πάντα, ὅσα τῇ τῶν οὐδετέρων φωνῇ κατὰ θήλεος γένους κατηγορεῖται, ὧν ὁ χαρακτὴρ ἄνωθεν ἐμμένει Ἀττικός· μεμένηκε δὲ νῦν καὶ τῇ ἡμετέρᾳ χρήσει ἡ Φανίον, ἡ Ἀβρότιον, ἅπερ καὶ μέχρι τῶν ἑνικῶν μόνον κλίνεται.* ~ V

ἐπισπασάμενος τὴν θύραν*] *ἐπισύρας, ἀσφαλισάμενος.* ~ ΓCVOΩΔ

*ἐσπόδει**] *ὑβριστικῶς ἠφροδισίαζεν.* ~ ΓCVOΩΔ

*ἐνέτεινας**] *ἐπήγαγες.* ~ ΓVΦ

καὶ κατὰ κόρρης] *καὶ κατὰ τῆς κεφαλῆς.* ~ V

πλατὺ χρεμψάμενος] *τὸν ἐν στόματι συναγαγὸν πτύελον.* ~ V

*ἐνεπιμπράμην**] *ἐκαιόμην, ἐμαινόμην.* ~ ΓVOΩΔ

*εἰ**] *ἀντὶ τοῦ εἴθε εὐκτικοῦ ἐπιρρήματος.* ~ Γ

ὢν εἰ λαβοίμην*] *καὶ τοῦτο δραματικὸν τὸ μὴ συντελεῖν ἐᾶσθαι τὸν λόγον ἀλλ' ὑποτέμνεσθαι ἐνδεοῦς ἔτι ὄντος, ὡς καὶ ἐν τῷ βίῳ πολλάκις εἴωθε γίνεσθαι ὑπὸ μειζόνων κωλυομένου τοῦ λόγου.* ~ ΣVOUΩΔ, cf. C

—] *ὅτι τὰ κατ' ἔλλειψιν γινόμενα τῶν διηγήσεων, οἷον τὸ ἀνακόπτειν τὸν λόγον πρὶν πέρας ἐπιθεῖναι τῷ πράγματι, δραματικά εἰσιν ἤγουν μὴ συντελεῖν κτλ.* (cf. lin. 20) ~ C

13 *κατὰ τυράννου κτλ.*] *ὡραῖον.* ~ V

καὶ Ῥαδάμανθυς υἱός ἐστιν, ὡς λέγουσι, τοῦ Διός. ἀφω-

---

2 *λέγοντες εὐφήμιον* C ‖ 4 sch. ad c. 9 (*εἰς τοσοῦτον κτλ.*) relat. V ‖ 7 *θήλεως* V ‖ 9 *φάνιον* V | *ἡ ἀβρότινον* V; cr. Solanus; possis etiam *Ἀβροτόνιον* ‖ 11 *ἐπισπάσας* C | cf. sch. lov. trag. 16; Suid. s. v. *ἐπισπώμενος* et *προσκείμενοι* ‖ 21 *ἐνδεοῦν* (om. *ἔτι*) C ‖ 21. 22 *ὄντως καὶ* Γ ‖ 22 *πολλὰ* C | *λέγεσθαι* C ‖ 22 *ὑπὸ* — 23 *λόγου* om. Δ ‖ 23 *κωλυομένων* C ‖ 25 *ἐπιθῆναι* C; fort. *ἐπιτεθῆναι* ‖ 28 *καὶ οὗτος υἱός* V

ρίσθη δὲ παρὰ τοῦ πατρὸς καὶ οὗτος ἐπὶ τῷ ἐκζητεῖν τὰς τῶν τετελευτηκότων πράξεις καὶ τὰς πρὸς ἀξίαν ἐπιτιθέναι δίκας. ~ ΓVOΩΔ

κἂν ἰδιώτην κτλ.] ὡραῖον. πάνυ εὐκαίρως τὰς τῶν πλουσίων καὶ φιλοζώων φωνὰς μεμίμηται. ~ ⟦2

εἶσω* τοῦ ποδός] τουτέστιν ἀπὸ τοῦ ποδός. ~ ΓVφOΩΔ

ὅπως*] κἀνταῦθα ἐλλείπει τῷ πολλάκις ἡμῖν εἰρημένῳ Ἀθηναίων ἔθει τὸ φρόντιζε. ~ ⟦2VφOΩΔ

προσεπαττάλευσα*] εἰς πάσσαλον ἔδησα ἢ ἀντὶ τοῦ ἀνεσταύρωσα. ~ ΓCVφOΩΔ

ἀγαπητή] ἀντὶ τοῦ ἀρκετή, ἐπιπόθητος, ἡδεῖα. ~ ⟦2VOΩ 14

Κύκλωπος*] ὁ Κύκλωψ πρὸς τὸν Ὀδυσσέα ἐν τῷ σπηλαίῳ φησὶν ὅτι ‘χαρίζομαί σοι τοῦτο, ὅτι μετὰ πάντων ὕστερόν σε ἐσθίω’ [cf. Hom. ι 369]. τοῦτο οὖν καὶ ὁ Μίκυλλός φησιν ὅτι ‘ὅσον ὁ θάνατος γίνεται, τί με ὠφελεῖ τὸ ἀποθανεῖν ὕστερον;’ ~ ΓVOΩΔ

πύματον*] ἔσχατον. ~ ΓV

Οὕτιν τὸν Ὀδυσσέα· οὕτω γὰρ ἑαυτὸν ὁ Ὀδυσσεὺς καλεῖ διαπαίζων τὸν Κύκλωπα. ~ ΓVOΩΔ. Addit Δ: καὶ Θέλων ἀπαλλάττεσθαι αὐτοῦ. ~

ἐκ διαμέτρου: τὸ λόγιον ἐπὶ τῶν πάνυ διαφερόντων, εἴληπται δὲ ἀπὸ τοῦ ἐπιπέδου σχήματος τοῦ κύκλου· ἐπ’ ἐκείνου γὰρ πασῶν τῶν τεμνουσῶν αὐτὸν εὐθειῶν μείζων ἡ διὰ τοῦ κέντρου, ἥτις καὶ διάμετρος λέγεται. ἀπὸ τούτου τὰ πάνυ διαφέροντα λέγεται ἐκ διαμέτρου. ~ ⟦2Vφ

τὸ καὶ παῖδας ὡραίους πῶς σοι ἐκλέλεκται; ἀλλ’ ἐκ τοῦ ἐφεξῆς πάνυ τοῦτο σαφές, βωμολόχε. ~ Δ

οὐ γὰρ οἶδ’ ὅπως] καινοπρεπὲς τοῦτο, ‘οὐκ οἶδα γὰρ ὅπως’ δέον εἰπεῖν, ὁ δὲ “οὐ γὰρ οἶδ’ ὅπως” εἴρηκεν. ~ CVOΩΔ

---

9 εἰς — ἔδησα Γ1, ἢ — ἀνεσταύρωσα ⟦2 | ἢ om. CVΔ ‖ 11 ἀντὶ τοῦ ἀρκετή om. ⟦2 | ἡδεῖα om. V ‖ 13 πάντας Δ ‖ 15 ἐφόσον VΔ ‖ 16 coni. sch. 18 ⟨οὕτιν δὲ λέγει τὸν⟩ V ‖ 18 ὁ om. V ‖ 23 γὰρ om. ⟦2

καθάπερ ἰξῷ τινι προσέχεται τοῖς τοιούτοις ἡ ψυχὴ κτλ.] *σχόλιον Βασιλείου Ἀδάδων. ἐνταῦθα αἰνίττεται τὴν τῆς ψυχῆς μετὰ τοῦ σώματος γενομένην συμφυίαν καὶ τὸ δυσαπόσπαστον αὐτῆς καὶ ὀδυνηρὸν καὶ σχετικόν, ὃ πρὸς τὸ σῶμα κέκτηται· οὐ φέρει γὰρ ῥᾳδίως ὑπαναχωρεῖν ἐκ τούτου διὰ τὴν ἄνωθεν ἐκ τοῦ δημιουργοῦ ταμιευθεῖσαν συμπλοκὴν ἐν ἀλλήλοις καὶ μάλιστα, εἰ τύχοι καὶ ἐγκλήμασιν ἁμαρτημάτων περικεῖσθαι· ὥσπερ γὰρ τότε δείματά τινα δεδιῶσα τοῖς ἔνδον ἐναποκρύπτεται ἀναβαλλομένη τὴν πρόοδον, αἳ δὲ τούτων ἐκτὸς εὐθύμως τούτων ἀφίστανται ἅτε κοῦφοι καὶ τῶν τοιούτων φόρτων ἀπηλλαγμέναι καὶ πρὸς τὴν ἄνοδον ἐπιτήδειαι.* ~ Δ

*προσέχεται**] κρατεῖται. ~ ΓVφΟΩ

*προστετηκυῖα**] προστακεῖσα, ἐπιθυμητικῶς ἔχουσα. ~ ΓCVφΟΩΔ

δυσέρωτες: οἱ πάνυ ἐρῶντες. ~ ΔVφ

καταλιπαρῶν: ἀντὶ τοῦ παρακαλῶν. ~ Δ

15 *οὐ συνοικίαν: τὰ νῦν ἐνοικικὰ λεγόμενα.* ~ CVφΟΩΔ

*εὔζωνος**] *ὁ ταχὺ καὶ ὀξέως βαδίζων.* ~ ΓVφΟΩδ

*κρηπῖδα**] *ὑπόδημα.* ~ ΓVΔ

*εὐθὺς κτλ.**] *ἔοικεν ἀπό γε τῶν παρόντων ἐξαίφνης Μίκυλλος ἀποθανεῖν.* ~ Δ

*μελαντηρίαν**] *τὸ τῶν καλιγαρίων μέλαν.* ~ Γ

*ἐς τὸ πρόσω**] *τουτέστιν οὐχ ὥσπερ οἱ πλούσιοι εἰς τὰ ὀπίσω ἐθεώρουν ὡς ἐπιθυμῶν τοῦ φωτός.* ~ VΓΟΩΔ

κατόπιν] *ὄπισθεν.* ~ Γ

*τὸ δὲ μέγιστον**] *τὸ ἰσχυρότερον.* ~ Δ

*ἐς τὸ ἔμπαλιν**] *τουτέστιν ἐναντία τοῖς γινομένοις ἐν τῇ ζωῇ.* ~ VΓΟΩΔ

16 *ἡ κνῖσα**] *ὁ καπνός.* ~ ΓV

---

2 ad c. 16 init. relat. Δ ‖ 9 *δεδιόσα* Δ ‖ 16 *ἄγαν* sch. Tim. 26 ‖ 18 cf. Arethas in Dion. Chrys. IV 91 (p. 101 Sonny) cet. ‖ 19 *ταχὺς* V ‖ 24 ad c. 17 *στένοντα* relat. Γ ‖ 25 *ἐπιθυμῶντες* Γ ‖ 26 ad *πρόσω* relat. Γ

ἀπέκναιέ με*] ἐφόνευέ με. ~ ΓVΩΔ

—] ἀντὶ τοῦ νωθρότερόν με ἐς τὸ ζῆν διετίθει. ἢ ὅτι τρόπον τινὰ ἐκέντει καὶ ἤμυσσεν καὶ πονηρῶς ἔχειν ἐποίει. ἢ ἀντὶ τοῦ ἀπώλλυεν ἢ διέφθειρεν· οὕτω γὰρ Πλάτων [Reip. III 406 B] χρῆται τῷ ῥήματι τούτῳ. ~ V

ὅλῳ πήχει* βασιλικῷ] ἀντὶ τοῦ μέτρῳ μεγάλῳ. ὁ γὰρ βασιλικὸς πῆχυς ἔχει ὑπὲρ τὸν ἰδιωτικὸν καὶ κοινὸν τρεῖς δακτύλους. ~ ΓVφOΩΔ

ἐξυπτιάζων*] ἀντὶ τοῦ τείνων τὸν τράχηλον καὶ τὸ στῆθος προβαλλόμενος ἅμα καὶ τοὺς ἰδίους ὤμους περισκοπούμενος, ὅ ἐστι γαυριῶν καὶ ὑπερηφάνως περιπατῶν. ~ ΓCVφOΩΔ

ἐτεθήπειν*] ἐθαύμαζον. ~ ΓV

τῶν ἐν τῇ Λακωνικῇ θαλάττῃ κοχλίδων] σημείωσαι, ὅτι ἡ Λακωνικὴ κόχλος τῶν ἄλλων εὐδοκιμωτέρα. ἢ ὅτι ἐκεῖ πρῶτον παρὰ τῆς κυνὸς εὑρηται τὸ ἐπιτήδευμα τοῦτο. ~ CVφΩΔ

ἄγχιστα*] ἐγγύτατα. ~ ΓVΔ. Addunt VΔ: πλέον πάντων πλησιάζων. ~ 17

ἐλογίζετο*] ᾠρίθμει. ~ ΔV

συλλέγων τὰ μετ' ὀλίγον κτλ.] σημείωσαι. ὡραῖον. ~ V

ἀνιμήσηται*] ἀνασπάσῃ. ~ ΓVΩ

ξῶλον*] χθεσινόν. ~ ΓVφOΩδ 18

ἀπαγορεύσας*] ἀτονήσας. ~ ΓV

πορθμεῖα λέγει τὸν μισθὸν τὸν ὑπὲρ τοῦ διαπερᾶσαι διδόμενον. ~ ΓVOΩΔ

εὐπλοῶμεν*] ἐπικελευσμὸς ἢ ἐπίφθεγμα τῶν πλεῖν ἀρχομένων ἤτοι πορθμὸν διαβαλλόντων ἢ εἰς πέλαγος ἀφιέναι μελλόντων τὸ εὐπλοήσωμεν τῇ τύχῃ ὡς ἔοικε τοῦτο ὑποβαλλομένων. ~ V 19

---

4 cf. sch. in Plat. ἀπέκναισε· διέφθειρεν, ὡς νῦν. σημαίνει δὲ καὶ διέκοψε καὶ ἐλύπησεν | καὶ διέφθ. Barocc. 56 ‖ 6 γὰρ om. Γ ‖ 9 καὶ — 10 ἅμα om. Γ; post περιπατῶν pos. C ‖ 13 ση V; om. cet. ‖ 14 ἡ om. C ‖ 15 εὕρηται πρῶτον (om. παρὰ τῆς κυνὸς) C ‖ 17 ἀντὶ τοῦ ἐγγ. V

πρόσκωπος*] ἐπὶ τῇ κώπῃ καθήμενος. ~ ΓVφOΩΔ
εὐῆρες*] καλῶς κωπηλατοῦν. ~ ΓVOΩΔ
ἐρετμόν*] κώπην. ~ ΓV
ἔρεττε: κωπηλάτει. ~ Δ
ἦ*] ἆρα. ~ ΓV
ὑποκελεῦσαι*] ὡς ἐν τοῖς πλοίοις λέγειν εἰώθασι κελεῦσαι. ~ ΓVφΩΔ. Addunt VφΩΔ: ᾠδὴν δὲ λέγει ναυτικήν, ἣν ὑποκέλευσμα καλεῖ, διότι ἑνὸς καταρχομένου οἱ ἄλλοι ὑπήκουον τὸ ἀδόμενον, ὥσπερ καὶ ὅτε τὴν ὀθόνην τῶν πλοίων μετὰ τῆς κεραίας ἐπὶ τὸν ἱστὸν ἀναφέρουσιν. ~
20 οἶμοι*] διαφόρων ὀδυρμοί. ~ ΓVΔ
σπαθήσει*] τρυφήσει. ~ ΓVΩ. Addit Ω: καταδαπανήσει. ~
οἶμοι] οὐ λύπη ταυτησὶ τῆς οἰμωγῆς σοι, Μίκυλλε, πρόξενος ἀλλὰ τοὐναντίον χαρά· ὑπερβολὴ γὰρ ἡδονῆς καὶ θρῆνόν ποτε ἀποτίκτειν φιλεῖ. ~ Δ
21 πορθμία*] τὸ ναῦλον· διὰ τοῦ ῑ γράφεται. ~ Δ
καθ' ὕδατος*, φασίν, ἤδη γράφεις] παροιμία ἐστὶν ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων πράγμασιν· τὸ γὰρ καθ' ὕδατος γράφειν ἀδύνατον. ~ ΓVφOΩΔ
—] ὡραῖον. ~ Γ
Σῆρας*] Σῆρές εἰσιν ἔθνος, παρ' ᾧ γίνεται τὰ Σηρικὰ ἱμάτια· τούτους οὖν, φησί, Σῆρας ὄντας ἄπειμι ἐνεγκεῖν ὀφείλουσα. ἡ δὲ ἀκολουθία τοῦ κειμένου ἀπαιτεῖ Σῆρας νοεῖν αὐτοὺς τοὺς σκώληκας τοὺς ποιοῦντας τὴν μέταξαν. διαπαίζει δὲ ἐν τῷ χωρίῳ τοὺς λέγοντας ἀθανάτους τὰς τῶν ἀλόγων ψυχάς. ~ ΓVφOΩΔ
22 ὁ καλὸς Μέγιλλος*] οὗτος ὁ Μέγιλλος Κορίνθιος ἦν. ~ ΓVφOΩΔ. Addunt VφΩΔ: ὑπερφέρων κάλλει τοὺς κατ' αὐτόν. ~
ἢ τῷ*] ἢ τίνι, ὅ ἐστι διὰ τίνος. ~ VΔ

---

15 ὑπερβολῆς Δ ‖ 25 μέταξιν V ‖ 28 sch. 22 et 28 coni. (οὗτος δὲ ὁ) V

Φρύνης Σιμμίχη*] ὀνόματα πορνῶν. ~ ΓVOΩΔ

πρότερον τέως: παρέλκει ὁπότερον τῶν δύο, ἤτοι τὸ πρότερον ἢ τὸ τέως· ἄμφω γὰρ ταὐτὸ σημαίνει. ~ ΔVΦOΩ

*Ἐλευσίνια**] ἑορτὴ ἦν παρὰ τοῖς Ἀθηναίοις τὰ Ἐλευσίνια ἐπιτελουμένη Δήμητρι καὶ Περσεφόνῃ, ἐν ᾗ ἐγίνοντο ἀνόητά τινα τῶν Ἑλλήνων μυστήρια, ἅπερ ὁ Λουκιανὸς συνδιαπαίζει. ~ ΓVΦOΩΔ

δᾳδουχοῦσα: λαμπάδα φέρουσα. ~ ΔV

ἡ *Τισιφόνη μία ἐστὶ τῶν Ἐρινύων. Ἐρινύας δὲ λέγουσι* 23 *θεάς τινας ἐπιτετραμμένας κολάζειν τοὺς πλημμελοῦντας κατὰ τὸν βίον.* ~ ΓCVΦOΩΔ

πρὸς τοῦ πατρός*] *ἐνορκῶ σε κατὰ τοῦ πατρός, λέγει δὲ τοῦ Διός· πατέρα γὰρ λέγουσι τοῦ Ῥαδαμάνθυος τὸν Δία.* ~ VΔ

στιγματίας καλοῦσι τοὺς οἰκέτας τοὺς στιζομένους ὡς ἀχρη- 24 *σίμους. πρὸς τοῦτο οὖν ἀφορῶν ὁ Κυνίσκος 'ποῦ στιγματίας ἐγενόμην;' πρῶτον ἠρώτησεν.* ~ ΓCVΦOΩΔ

ὁπόσα ἄν τις ὑμῶν πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ' ἕκαστον αὐτῶν ἀφανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει] *εἶθε, Λουκιανέ, μὴ διαπαίζοις, ἀλλ' ὡς ἀληθὲς τοῦτο δοξάζοις.* ~ Δ

ὁπόσα κτλ.*] *σχόλιον Βασιλείου Ἀδάδων. ἄντικρυς, ὦ Λουκιανέ, τοῦτο ἀληθὲς εἴρηκας καὶ λίαν σοφώτατα. οἱ γὰρ μὴ προεκκαθάραντες τὰ πεπλημμελημένα καὶ διὰ μετανοίας καὶ δακρύων ταῦτα ἀπονιψάμενοι σαφῆ γνωρίσματα καὶ τύπους τινὰς περιφέρουσιν, αἱ τούτων ψυχαὶ ὥσπερ τινὰς βαφὰς καὶ μελανώματα ἐκκεκολαμμένα ἔχουσαι καὶ γνώριμα πᾶσιν ὄντα διαδείκνυνται, ὧν τὴν αἰσχύνην μὴ φέρουσαι δεινῶς ὀδυνῶνται ἀνόητα μεταμελούμεναι, καθὼς*

---

5 *ἐγένοντο* Γ ‖ 7 *διαπαίζει* Laur. 32, 13; *νῦν διαπαίζει* Solanus ‖ 9 *ὅτι τισ. ἐστὶ μία* C ‖ 15 *αἰκιζομένους*; *ἐστιζομένους* C; cf. Etym. ‖ 16 *πρὸς* — 17 *ἠρώτησεν* om. C ‖ 22 *δάδων* Δ ‖ 25 *σαφῆ*: Basilius igitur non legit *ἀφανῆ στίγματα* ‖ 27 fort. *ἐγκεκολαμμένα*

οἱ θειότατοι ἡμῶν πατέρες φασίν, Ἐφραΐμ καὶ Βασίλειος καὶ ὁ λοιπὸς τῶν θείων πατέρων θίασος. ~ Δ

καίτοι τί τοῦτο κτλ.*] *φρονίμως αἰνίττεται πάνυ, ὡς ὁ φιλόσοφος εἰ καί τι ἔχει πρόχην ἁμάρτημα, δυνατὸν διὰ τῶν πόνων ἀποκαθᾶραι αὐτό.* ~ ΓVφΟΩΔ

*ἐξ ὑπαρχῆς**] *ἄνωθεν.* ~ ΓV

*ἐμπολήσας**] *κερδάνας, συνάξας.* ~ ΓVφΟΔ

μακάρων νήσους λέγουσιν, ἔνθα διάγουσιν αἱ τῶν ἀγαθῶν ἀνδρῶν ψυχαὶ μετὰ θάνατον. ~ Vφ Δ

*ἀνεπίγραφος**] *μηδεμίαν γραφὴν ἢ στίγμα ἔχων.* ~ ΓVφΟΩΔ

*τύραννον**] *εἴρηται τύραννος ἀπὸ τῶν Τυρρηνῶν τῶν βιαίων καὶ ληστῶν γενομένων ἐξ ἀρχῆς, ὥς φησι Φιλόχορος* [fr. 5. F. H. G. I p. 384 Müller]. *Τυρρηνοὶ γὰρ ὀλίγον τινὰ χρόνον οἰκήσαντες ἐν ταῖς Ἀθήναις ὤφθησαν ἐπανιστάμενοι τῇ πόλει. καὶ πολλοὶ μὲν αὐτῶν ἀπώλοντο ὑπὸ τῶν Ἀθηναίων, ἄλλοι δὲ ἐκφυγόντες Λῆμνον καὶ Ἴμβρον ᾤκησαν. χρόνῳ δὲ ὕστερον ἀπὸ ταύτης τῆς αἰτίας ἐχθρωδῶς διακείμενοι τοῖς Ἀθηναίοις ὥρμησαν εἰς πλοῖα καὶ κατασχόντες Βραύρωνα τῆς Ἀττικῆς ἥρπασαν παρθένους ἀρκτευομένας τῇ θεῷ τοῖς Βραυρωνίοις· αἷς συνῴκησαν. οἱ οὖν ἐν Ἀθήνησι ῥήτορες ὡς ἐν δημοκρατίᾳ πολιτευόμενοι ἔθος ἔχουσι τοὺς βασιλέας τυράννους καλεῖν ἀντὶ τῆς παρ' αὐτοῖς γενομένης βίας τῶν Τυρρηνῶν.* ~ Δ

πρόβαλ' αὐτόν] *πρὸ τῶν ἄλλων βάλε, προσάγαγε.* ~ VΔ

26 *κἀκ τοῦ λόγου κτλ.*] *ὡραῖον.* ~ ΓV

ἐμπαροινῶν] *ἐνυβρίζων.* ~ VΔ

*ἀσκαρδαμυκτί**] *μὴ μύων τοὺς ὀφθαλμούς.* ~ ΔV

*καινουργόν**] *τὸ ἐπινοοῦν ξένα.* ~ ΔV

---

4 *εἶχε* ΔO | *δύναται* Δ ‖ 12 *τυρηνινῶν* Δ (ut lin. 14. 24) 17 *οἱ ἄλλοι* Ambr. P 116 sup. ‖ 20 *προσσχόντες* Ambr. P 116 sup.; *κατασχόντες εἰς* ex cod. 'G' (= Coll. Galei?) Jacobitz ‖ 21 *ἀρκτευομένας* Reitz; *ἀρκτεύοντας* Δ ‖ 22 *ἐν* del. Reitz

*ἄλλως**] *μάτην, ὡς ἔτυχεν.* ~ ΔΓV

*κενή**] *ψευδής.* ~ ΓV

σὺ ἡ Κλίνη λέγε*] *καὶ τοῦτο πρὸς πλείονα τῶν Ἑλλήνων* 27
ἐποίησε καταγέλωτα· ἐπειδὴ γὰρ ἐκεῖνοι καὶ τὰ φυτὰ λέ-
γουσιν ἔμψυχα, ἐπίτηδες οὕτως ἐμπαίζων λύχνον καὶ κλί-
νην μαρτυροῦντας παρήγαγεν. ~ ΓVφΟΩΔ

*τὰ μεθ' ἡμέραν**] *τὰ ἐν τῇ ἡμέρᾳ.* ~ ΓV

*ὑπερπεπαικότα**] *ὑπερβαλλόμενον.* ~ ΓVφΟΩΔ

*Πυριφλεγέθοντα**] *ποταμὸν πυρὸς λέγουσι τοῦτον ἐν* 28
τοῖς καταχθονίοις. ~ ΓVφΟΩΔ

*Κερβέρῳ**] *κύων ἐστὶν ὁ Κέρβερος τρεῖς ἔχων, ὡς λέγουσι,*
κεφαλάς, φύλαξ τοῦ Ἅιδου. ~ ΓVΟΔ

χάριν εἴσομαι*] *ἀντὶ τοῦ εὐχαριστήσω· τὸ γὰρ εὐχαριστῶ*
παρὰ τοῖς ἀρχαίοις οὐ λέγεται. ~ VφΔ

*ἀναπεμπαζόμενος**] *ἀναλογιζόμενος.* ΔΓV 29

*Τάνταλον**] *λέγουσι γὰρ οἱ Ἕλληνες, ὅτι ὁ Τάνταλος ἄν-*
θρωπος ὢν ἠξιώθη γενέσθαι τοῖς θεοῖς ὁμοτράπεζος. καὶ
ἀκούων τὰ λαλούμενα παρ' αὐτῶν κατερχόμενος ἔλεγε τοῖς
ἀνθρώποις καὶ διὰ τοῦτο οἱ θεοὶ ὀργισθέντες κολάζουσιν
αὐτὸν ἐν τῷ Ἅιδῃ· θεωρῶν γὰρ δένδρα πεπληρωμένα καρ-
πῶν καὶ ποταμοὺς παραρρέοντας οὐδενὸς αὐτῶν δύναται
γεύσασθαι· αὐτοῦ γὰρ προσιόντος ἐκεῖνα φεύγουσιν. ~
ΓVφΟΩΔ

20. Ζεὺς ἐλεγχόμενος.

*ἐρραψῳδήκασιν**] *εἶπον, ἐξηγήσαντο.* ~ Δ 1

οἱ ποιηταὶ δὲ ὁπόσα μὲν ἂν ἐκ τῶν Μουσῶν κατε- 2
χόμενοι ᾄδωσιν, ἀληθῆ ταῦτά ἐστιν] *Πλατωνικὸν*
[cf. Ion. 533 E cet.] *τὸ θεώρημα.* ~ ΓVΟΩΔ

---

2 coni. sch. 1 (*μάτην κτλ.*) V ‖ 5 *οὕτος* VΔ ‖ 9 coni. sch. 11 (*ὁ δὲ κέρβ. κύων κτλ.*) V ‖ 15 sch. ad *μεμνημένος* rel. Γ



3 πολυθρύλητοι* κτλ.] ⌜πάνυ γενναίως καὶ⌝ τοῦτο καθ' Ἑλλήνων ἠπόρησεν, εἴτε ἄλλο τι δύναται ἡ Εἱμαρμένη καὶ Τύχη παρὰ τὰς Μοίρας εἴτε ἰσοδυναμοῦσι. διὸ ⌜καὶ⌝ ὡς μεγάλης οὔσης τῆς ἀπορίας ἐποίησε τὸν Δία μηδὲν περὶ αὐτῶν ἀποκριθῆναι δυνάμενον. ~ Γ⌜V⌝ΟΩΔ

4 τί δ' οὖν ἐμειδίασας; ἀνεμνήσθην* κτλ.] τοῦ Διὸς εἰπόντος ὅτι ⌜καὶ ἡμεῖς οἱ Θεοὶ τοῦ νήματος ἠρτήμεθα τῶν Μοιρῶν⌝ ὁ Κυνίσκος ἐγέλασεν. ~ ΓVΟΩΔ

καθήσειν] κρεμάσαι. ~ V

βίαν*] δύναμιν. ~ ΓVΟΩ

νῦν δὲ αὐτόν σε κτλ.] ὡραῖον. ~ ΓV

6 εἰκαῖον*] μάταιον. ~ V

τὰς θυσίας φησίν*] δηλονότι ὁ λόγος. ~ ΓVΟΩ

μὴ ὀκνήσῃς*] ἀπὸ κοινοῦ τὸ μὴ ὀκνήσῃς, ἵν' ᾖ ⌜καὶ ὅπως ἀσφαλέστερον ἀποκρίνῃ, μὴ ὀκνήσῃς⌝'. ~ VΟΩΔ

7 ἀντίδοσιν*] ἀνθ' ὧν λαμβάνουσιν ἀγαθῶν τὰς θυσίας παρέχοντες. ~ ΓVΟΩΔ

οὐ γὰρ ἀποχρήσει αὐτοῖς κτλ.] ὡραῖον. ~ ΓV

μακρῷ*] πάνυ. ~ ΓΟ

8 ἱμονιάν*] ἱμονιὰ λέγεται τὸ σχοινίον, εἰς ὃ δεσμεῖται ὁ κάδος, δι' οὗ τὸ ὕδωρ ἐκ τῶν φρεάτων ἀνέλκουσιν. ~ ΓVΟΩΔ. Addunt VΩ: ἱμονιὰ λέγεται καὶ ἡ διὰ κάδων ἤ πως ἄλλως διὰ σχοινίων γοῦν ἄντλησις, διότι καὶ ἱμὰς λέγεται κυρίως μὲν ὁ λῶρος, καταχρηστικῶς δὲ καὶ τὸ σχοινίον. ~

---

6 ἡ τύχη ΟΩ, cf. Luc. ‖ 26 ἱμονιὰ δὲ Ox. Canon. 41 | κάδων Ω Canon. 41; κάδου V; fort. κάλων ‖ 27 ἤπος ἄλος διασχοινία V | καθότι Ω Canon. 41

*Προμηθεύς**] *λέγουσιν, ὅτι ὁ Ζεὺς τὸ πῦρ ἔκρυπτεν καὶ οὐκ ἠνείχετο παρασχεῖν αὐτὸ τοῖς ἀνθρώποις, ὁ δὲ Προμηθεὺς κλέψας αὐτὸ τούτοις δέδωκε καὶ ὀργισθεὶς ὁ Ζεὺς ἔδησεν αὐτὸν ἐν τῷ Καυκάσῳ ὄρει καὶ ἐποίησεν ἀετὸν*
ἐσθίειν τὸ ἦπαρ αὐτοῦ. ~ ΓVΟΩΔ

*πατέρα**] *πατὴρ τοῦ Διὸς ὑπῆρχεν ὁ Κρόνος. οὗτος ἐγνωκώς, ὡς εἷς τῶν ἀπ' αὐτοῦ γεννωμένων τῆς βασιλείας ἐκβαλεῖ αὐτόν, ἐπειδὰν ἔσχεν υἱόν, κατήσθιεν αὐτόν. τοῦτο ἐποίησε δύο υἱοῖς, τῷ Ἅιδῃ καὶ τῷ Ποσειδῶνι. ὅτε δὲ*
10 *ἐγεννήθη ὁ Ζεύς, ἡ Ῥέα, ἡ γυνὴ τοῦ Κρόνου, δέδωκεν αὐτῷ λίθον ἀντὶ τοῦ Διός, ὁ δὲ Κρόνος καταπιὼν καὶ τοὺς προτέρους παῖδας ἐξήρασεν. αὐξηθεὶς οὖν Ζεὺς τὸν ἑαυτοῦ πατέρα τῆς βασιλείας ἐδίωξε καὶ δεσμοὺς βαλὼν αὐτῷ ἐν τῷ Ταρτάρῳ ἀπέθετο.* ~ ΓVΟΩΔ

15 *Λαομέδοντι**] *ὁ Ποσειδῶν, ἀδελφὸς ὢν τοῦ Διός, μὴ φέρων τὴν βασιλείαν τοῦ Διὸς διὰ τὸ βαρέως ἄρχειν αὐτόν, ἐβουλεύσατο μετὰ καὶ ἄλλων θεῶν ὑποτάξαι αὐτόν. γνοὺς δὲ τοῦτο ὁ Ζεὺς τοὺς βουλευομένους ἐτιμωρήσατο. τὸν οὖν Ποσειδῶνα ἔπεμψεν εἰς Τροίαν ἐπὶ τῷ δουλεῦσαι τῷ*
20 *Λαομέδοντι.* ~ ΓVΟΩΔ

*Ἀδμήτῳ**] *ὁ Ἀσκληπιὸς υἱὸς ἦν τοῦ Ἀπόλλωνος. οὗτος τῇ ἰδίᾳ τέχνῃ τῇ ἰατρικῇ χρώμενος, ὡς ματαιολογοῦσι, τοὺς ἀποθνήσκοντας ἤγειρεν, καὶ ὀργισθεὶς ὁ Ζεὺς ἐκεραύνωσεν αὐτόν. ἐπὶ τούτῳ λυπηθεὶς ὁ Ἀπόλλων τοὺς Κύκλωπας*
25 *τοὺς εἰωθότας κατασκευάζειν τοὺς κεραυνοὺς κατετόξευσεν, καὶ θυμωθεὶς ὁ Ζεὺς ἐποίησε τὸν Ἀπόλλωνα τῷ Ἀδμήτῳ δουλεῦσαι. ὁ δὲ Ἄδμητος ἦν βασιλεὺς Θετταλίας.* ~ ΓVΟΩΔ

*ἐν ἀκαρεῖ**] *ἐν βραχυτάτῳ. λέγεται δὲ ἀκαρὲς τὸ βραχὺ*

---

7 *γενομένων* VΔ ‖ 8 *ἐκβαλεῖ* Δ; *ἐκβάλλει* ΓV (cf. sch. Gall. 13 *φονεύει*) ‖ 9 *υἱοὺς* Γ ‖ 12 *ἐξέρασεν* Γ; *ἐξήμεσεν* cet. ‖ 13 *περιβαλὼν* Δ ‖ 15 *μὴ* — 16 *Διὸς* om. V ‖ 18 *τοὺς βουλομένους* ΓOΩ; *τοὺς μὲν συμβούλους* Δ; *τούτους* V ‖ 22 cf. sch. Dial. deor. XV 1

ἀπὸ μεταφορᾶς τῶν τριχῶν τῶν μηδὲ καρῆναι διὰ βραχύτητα δυναμένων. ~ ΓVOΩ

11 Εἱμαρμένην τιμῶντες κτλ.] ὡραῖον. ~ ΓV

ad c. 11—12·

εἰ μὲν θεοὶ σθένουσιν, οὐκ ἔστιν τύχη,
εἰ δ' οὐ σθένουσιν, οὐδέν ἐστιν ἡ τύχη.
εἰ μὲν θεοὶ σθένουσιν, ἔστιν ἡ τύχη,
εἰ δ' οὐ σθένουσιν, μᾶλλον ἔστιν ἡ τύχη. ~ VΔ

12 εἰ μὴ παρὰ* τοῦτο] κατὰ τοῦτο. ~ ΓV

καθείρξας*] ἐγκλεισάμενος. ~ Δ

Κροίσου* παῖδα] Κροῖσος ὁ Λυδῶν βασιλεὺς εἶδεν ὄνειρον, ὡς ὁ υἱὸς αὐτοῦ Ἄτυς αἰχμῇ σιδηρᾷ τεθνήξεται. φοβηθεὶς οὖν οὐ συνεχώρει τῷ παιδὶ οὔτε κατὰ πολεμίων ἀπελθεῖν οὔτε διὰ τόπου παρελθεῖν, ἐν ᾧ ἐκρέματο σίδηρος. συὸς δὲ κατὰ τὴν χώραν φανέντος πεισθεὶς ἔπεμψεν εἰς Θήραν τὸν παῖδα καὶ ἐν τῷ θηρεύειν Ἄδραστος εἷς τῶν θηρευόντων ῥίψας κατὰ τοῦ συὸς αὐτοῦ μὲν ἥμαρτεν, ἀναιρεῖ δὲ τὸν Κροίσου υἱὸν Ἄτυν. ~ ΓVOΩΔ

13 ἄλοκα: τὴν αὔλακα, ὅ ἐστιν ἀροτρευθεῖσαν γῆν· λέγει δὲ τὴν γυναῖκα. ~ ΓVOΩΔ

14 ἀποσαφοῦντες*] φανεροῦντες. ~ ΓV

ἄρνεια* κρέα] ὁ Κροῖσος θέλων πειραθῆναι, εἰ ἀλήθειαν μαντεύεται ὁ Ἀπόλλων, μίξας ἄρνεια κρέα καὶ ἀπὸ χελώνης ἥψει αὐτά. καὶ ἐποίησεν ἀπελθεῖν τινας πρὸς αὐτὸν καὶ ἐρωτῆσαι αὐτόν, τί ποιεῖ· ὁ δὲ ἀπεκρίθη

"ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέασιν". ~ ΓVOΩΔ

15 διηγκυλημένος] ἐν ἑτοίμῳ ἔχων. ~ ΓVOΩ

διηγκυλωμένος] ἠγκασμένος. ~ Δ

---

5. 6 fr. 169. F. T. G.² II 874 *N.* ‖ 22 ἀληθῆ VO ‖ 24 ἕψει V ‖ 25 ποιεῖν Γ ‖ 26 ὁ δῆμος ὀσφράνας ἦλθεν κρατήρινοιο χ. ἑψωμενης Γ, similiter corrupta in ceteris cod.; correxi ex Herod. 1, 47, cf. sch. Iov. trag. 30 ‖ 27 κρέεσσιν Her. ‖ 29 sch. non certo legi

*Καλλίας**] Ἀλκιβιάδης Κλεινίου, Σκαμβωνίδης τὸν δῆμον, τραυλὸς ἦν, ὡς Ἀριστοφάνης Σφηξί [44]. γήμας δὲ τὴν Ἱππονίκου θυγατέρα, Καλλίου δὲ ἀδελφήν, αὐτῇ μὲν ἐπεισῆγεν ἑταίρας, τὸν δὲ Καλλίαν ἐπειρᾶτο διὰ τὰ χρήματα ἀνελεῖν. καὶ συνθέμενός τινι τῶν ἡλικιωτῶν κόνδυλον τῷ Ἱππονίκῳ ἐνέτριψεν. καὶ βαδίζων εἰς τοὺς τῶν ἐραστῶν ἀγροὺς τοὺς καλλίστους τῶν βοῶν ἐκλεγόμενος ἔθυε μετὰ τῶν ἐραστῶν. αὐτῇ δὲ τῇ θυγατρὶ αὐτοῦ ἐπεμίγη Ἀλκιβιάδης παρὰ τοὺς νόμους. οὗτος δὲ Ἀκάτιος ἐκαλεῖτο, ἤτοι ὅτι τοὺς μικροὺς ἀκατίους ἐκάλουν ἢ ὅτι ἀπὸ Ἀκατίου χωρίου ἦν. ∼ V **16**

*τοῖς ἕνδεκα**] οἱ ἕνδεκα ἄρχοντές εἰσι παρὰ τοῖς Ἀθηναίοις τῶν ἐν τῷ δεσμωτηρίῳ ἐπιμελούμενοι καὶ τοὺς ἐναγομένους ὡς κλέπτας ἢ ἀνδραποδιστὰς ἢ λωποδύτας, ἂν μὲν ὁμολογῶσι, θανάτῳ ζημιοῦσιν, ἐὰν δὲ ἀμφισβητῶσιν, εἰς δικαστήριον εἰσάγουσι καί, ὃ δ' ἂν κριθῇ περὶ αὐτῶν, ποιοῦσιν. καὶ εἴ τις ἄλλος κατακριθῇ θάνατον, οἱ ἕνδεκα τοῦτον παραλαμβάνουσιν. ∼ ΓVΟΩΔ

*ἀνεσκολοπίζοντο**] ἐν ἄλλῳ Γώχης δὲ ἀνὴρ ἐνάρετος ἀνεσκολοπίσθη πρὸς αὐτοῦ'. ∼ ΓΔ

*Τιτυούς**] ὁ Τιτυὸς ἠθέλησε βιάσασθαι τὴν Λητώ, γυναῖκα οὖσαν τοῦ Διός, μητέρα δὲ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, καὶ διὰ τοῦτο κολάζεται ἐν τῷ Ἅιδῃ· αὐτοῦ γὰρ ἐν τῷ ἐδάφει ἐξηπλωμένου παρακαθήμενοι οἱ γῦπες τὸ ἧπαρ αὐτοῦ κατεσθίουσιν. ∼ ΓVΟΩΔ **17**

κἀκεῖνον ἐρωτᾷς**] ἀντὶ τοῦ δι' ἐκεῖνον. ∼ ΓVΟΔ **18**

*ἀγαπήσομεν**] ἀρκεσθησόμεθα. ∼ ΓVΔ **19**

21. Ζεὺς τραγῳδός.

*τραγῳδός**] ἡ τραγῳδία πεπλήρωται συμφορῶν. ἐπεὶ οὖν ἐν συμφορᾷ νῦν ὁ Ζεύς ἐστιν, εἰκότως αὐτὸν ὡς τραγῳ-

12 ἦσαν V | τοῖς om. V ‖ 15 ἀμφισβητοῦσιν Γ ‖ 17 ποιῶσι Γ | θάνατον ΓΔ; θανάτου V

δὸν ὑποτίθεται· διὰ τοῦτο γὰρ καὶ διὰ ἰάμβων τραγικῶν διαλέγονται αὐτῷ Ἥρα καὶ Ἀθηνᾶ, καὶ αὐτὸς δὲ δι' ἰάμβων πρὸς αὐτὰς ἀποκρίνεται. ~ ΓVΟΩΔ

1 μεγαλοσμαράγου*] ἀδιανόητος ὅλος ὁ στίχος, ὡς τοῦ Διὸς καὶ τὸ τραγῳδεῖν ἀγνοοῦντος. ~ VΓΟΩΔ

ὑποδραματουργεῖν*] τὸ δραματουργεῖν τοῦ ὑποδραματουργεῖν ταύτη διαφέρει· δραματουργεῖ μὲν γὰρ ὁ ποιητὴς καὶ τῆς ὑποθέσεως ὅλης καὶ τῶν ἐπῶν, ὡς Εὐριπίδης, Εὔπολις, Ἀριστοφάνης καὶ εἴ τις τοιοῦτος· ὑποδραματουργεῖ δὲ ὁ τὰ ὑπὸ τῶν δραματουργῶν τούτων εἰρημένα λαμβάνων κατὰ καιρὸν καὶ τοῖς οἰκείοις αὐτὰ πάθεσιν ἐναρμόττων ἅτε τοῖς ἤδη πεπραγμένοις ἀφομοιούμενα. ~ VΟΩΔ

2 σάτυρον: δασεῖαν ἢ καταφερῆ Δωρικῶς. καὶ σατύριον πόα τις συνεργὸς πρὸς τὰς ἀφροδισίους ἀφορμάς, καὶ ζῷόν τι τετράπουν λιμναῖον. καὶ σάτυρος ἤτοι [ἡ] χορευτὴς ἢ ἔντασις. ~ Δ

3 ἐπὶ ξυροῦ* ἕστηκεν] παροιμία ἐπὶ τῶν ἐν ἐσχάτῳ ὄντων κινδύνῳ λεγομένη διὰ τὸ μὴ δύνασθαι τὸν ξυρὸν ἵστασθαι. ~ VΓΟΩΔ

τὰ νέρθεν*] τὰ κάτωθεν ἀπὸ τῶν καταχθονίων· ἐκεῖ γάρ, ὡς λέγουσιν, οἱ Τιτᾶνες ἐδέδεντο. ~ VΓΔ

Πῶλος* ἢ Ἀριστόδημος] οὗτοι τραγῳδίας ἦσαν ὑποκριταί. ἐπειδὴ οὖν ὁ Ζεὺς τραγικοὺς ἰάμβους ἔλεγεν αὐτοῖς, διὰ τοῦτο εἶπεν ὅτι ‘ἀντὶ Διὸς Πῶλος ἐφάνης ἢ Ἀριστόδημος’. ~ ΓV Δ

—] ἄλλως. Ἀρέθα. Πῶλος καὶ Ἀριστόδημος ὑποκριταὶ

---

2 διαλέγεται V ‖ 4 ad κοίμισον relat. OΩ | καὶ ante τοῦ add. V ‖ 11 λαμβάνων καὶ κατὰ καιρὸν τοῖς Δ ‖ 14 σατύραν· καταφερῆ Hes. | σατύριος Δ ‖ 15 ἀφροδισίας ὁρμάς Hes. ‖ 16 τι om. Hes. ‖ 16. 17 ἢ πορότης ἢ ἔνστασις Δ; correxi ex Hes.: σάτυρος· ἡ ἔντασις ἢ χορευτής ‖ 18 ἡ παροιμία V ‖ 21 ad Τιτᾶνες relat. Γ | ἀπὸ suspect.; fort. τὰ | ἐκεῖσε V ‖ 27 ἄλλως ἀρέθα Δ; om. cet. | cum sch. 23 coni. (ἐφ. ἢ ἀριστόδημος. πῶλος δὲ καὶ) OΩ

περιφανεῖς. ὑπεκρίνοντο οὖν ἐν ταῖς τραγῳδίαις καὶ ταῖς κωμῳδίαις καὶ θεούς· καὶ τοῦτο νῦν Ἥρα γυναικείᾳ κρατουμένη ὀλιγωρίᾳ καὶ ὅτι ὅλως θεῶν ὑπεισέρχονται πρόσωπα ὑποκινιζομένη περιπαθῶς τῷ Διὶ ὑποτίθεται. ∼ ΔCVOΩ

μετέωροι] πρὸς ἀκρόασιν. ∼ ΓV 4

ἀγνοήσεται: ἀντὶ τοῦ ἀγνοηθήσεται. σκόπει δέ, ὅτι τὸ τοῖς ἄρχουσι κατ' ἰδίαν τι πράττειν καὶ μὴ τοῖς ἀρχομένοις αὐτὸ κοινοῦσθαι τυραννικὸν δοκεῖ. ∼ ΔVOΩ 5

ἁπλοϊκά*] εὐτελῆ, ἁπλούστατα. ∼ ΓΟΩΔ 6

εἰς ἀγορήν*] πρὸς τῇ λοιπῇ δεισιδαιμονίᾳ μᾶλλον δὲ μανίᾳ τῇ περὶ τοὺς λεγομένους θεοὺς καὶ Πρίαπόν τινα θεὸν εἶναι Ἕλληνες μεμυθολογήκασιν, ὃν οἱ μὲν αὐτῶν τὸν αὐτόν φασιν εἶναι τῷ Διονύσῳ ἐπιθετικῶς αὐτοῦ τούτου δῆθεν Πριάπου καλουμένου, ἄλλοι δὲ Διονύσου μὲν υἱόν, μητρὸς δὲ ἢ Ἀφροδίτης ἢ Διώνης. Μνασέας δὲ ὁ Παταρεὺς [fr. 35. F. H. G. III 155 Müller] ἑρμαφρόδιτον τὸν Πρίαπον λέγει, ἄλλοι δὲ Ἀφροδίτης υἱόν, ἣ ἔρριψεν αὐτὸν εἰς τοὺς λειμῶνας ἐπὶ τῇ ἀμορφίᾳ τῶν μήδεων αἰδοῖ ἐχομένη· εἶχε γάρ, φασί, γλῶσσαν μεγάλην καὶ γαστέρα καὶ αἰδοῖον, λεχθῆναι δ' ἐπ' αὐτῷ, ὅτι σημαίνει τὸ ἄγαλμα αὐτοῦ, ὡς ὁ κρατῶν γλώσσης καὶ γαστρὸς καὶ μίξεως ἄμεμπτον ἕξει τὸν βίον. ∼ ΓVOΩΔ. Addunt OΩ: τὸν δὲ Ἄνουβιν λόγος κυνοπρόσωπον εἶναι (cf. p. 60, 2. 3). ∼

νώνυμνοι*] ἄνευ ὕμνων. ∼ ΓVΔ

Φειδίου* κτλ.] οὗτοι ἀγαλματοποιοὶ ἦσαν ἄριστοι. ∼ ΓVΔ 7

ἐπηυγάζεσθαι*] γράφεται καὶ ἐπηλυγάζεσθαι. διὰ τοῦ η γραπτέον· ἀπὸ τοῦ ἠλύγη γάρ ἐστι συντεθειμένον, ὃ σημαίνει τὴν σκοτίαν. ∼ Δ 8

---

1 ταῖς (ante κωμ.) COΩΔ; om. V ‖ 2 καὶ τοῦτο — 4 ὑποτίθ. om. C ‖ 6 πρὸς ἀκρ. Luc. vulg. in textu; om. ΓV in textu ‖ 8 fort. τοὺς ἄρχοντας ‖ 17 immo Πατρεὺς ‖ 18 ἢ cod. Voss. ad Dial. deor. III 1; καὶ ΓVOΩΔ ‖ 20 cf. sch. Dial. deor. III 1 | φασί cod. Voss.; φησι cet. ‖ 23 ἕξη Δ ‖ 27 cf. sch. Calumn. non cred. 1

Βενδῖς κτλ.*] *οὗτοι παρ' Αἰγυπτίοις ἐτιμῶντο.* ~ ΓΟΩΔ —] *ὅτι ἡ μὲν Βενδῖς Θρᾳκεία θεός, ὁ δὲ Ἄνουβις Αἰγύπτιος, ὃν οἱ λόγοι καὶ κυνοπρόσωπον εἶναι, ὁ Μίθρας Περσικός, ὁ Μὴν Φρύγιος.* ~ CVΔ

*Μίθρης**] *παρὰ Πέρσαις. ὁ αὐτὸς δὲ οὗτος τῷ Ἡφαίστῳ, ἄλλοι δὲ τῷ Ἡλίῳ φασίν.* ~ ΓVΩ. Addit V, quod est etiam in Δ (post l. 4 *Φρύγιος*): *ἐπεὶ οὖν οἱ βάρβαροι πλούτῳ ἐκόμων, εἰκότως καὶ πολυτελῶς τοὺς ἑαυτῶν θεοὺς κατεσκεύαζον.* ~

*Ἄττις**] *τὸν Ἄττιν Φρύγες σέβονται τὸν αὐτὸν ὄντα τῷ Διονύσῳ. φασὶ δὲ αὐτὸν καὶ Θηλυδρίαν ὑπὸ Ῥέας τῆς τῶν θεῶν ἀποκοπέντα μητρός, ἐφ' ᾧτε ἐρώμενον αὐτῆς ὑπάρξαι. ἔνιοι δὲ καὶ γνήσιον υἱὸν αὐτῆς ὄντα τοῦτο δι' ἐκεῖνο παθεῖν αὐτόν φασι. τούτῳ οἱ ἱερατικῶς λειτουργοῦντες ἐκτεμνόμενοι πρότερον τὰ γεννητικὰ ἄρθρα ἀνετίθεντο οὕτως. διὰ ταῦτα καὶ νῦν παίζεται τοῦτο κατὰ πάντων εὐνούχων ὡς τῷ Ἄττιδι ἐπιτηδείων ἀνακεῖσθαι· ἁρμοδιώτερον δέ, εἰ κιναιδεύοιντο, καθότι καὶ αὐτὸς Ἄττις τοιοῦτος ἐπ' ἀμφοτέρῳ τῷ μύσει ἐξεταζόμενος.* ~ ΓCVΟΩΔ

10 *λημῶ**] *λήμας ἔχω. λήμη δέ ἐστιν ὁ ἐν τοῖς ὄμμασι ῥύπος.* ~ ΓVΔ

*Πεντέληθεν**] *ἀπὸ Πεντέλης. Πεντέλη δέ ἐστι λίθος παρ' Ἀθηναίοις εἰς ἀγάλματα πεποιημένος.* ~ ΓVΟΩΔ

*Πραξιτέλει**] *Πραξιτέλης ἀγαλματοποιὸς ἄριστος, ὅστις κατεσκεύασε τὸ ἐν Κνίδῳ τῆς Ἀφροδίτης ἄγαλμα.* ~ ΓVΟΩΔ

χρυσῆν ἔλεγεν Ὅμηρος τὴν Ἀφροδίτην ἀντὶ τοῦ καλήν. αὕτη δὲ ἦλθε προκαθίσαι, ὅσον ἐκ τοῦ ὀνόματος. ~ ΓVΟΩΔ

---

2 *ὅτι* om. VΔ ‖ 3 *ὃν — εἶναι* om. C | *εἶναι* scripsi coll. p. 59, 24; *ἦν* VΔ ‖ 2—19 sch. coni. (*ἡ μὲν — φρύγιος. ὁ δὲ μιθρὴν ὁ αὐτὸς — κατεσκεύαζον. τὸν ἄττιν δὲ*) V ‖ 3 *μιθρὴν* V; *μίθρις* Δ; *μίθρης* Vat. 86 et 88 ‖ 5 cf. sch. Deor. conc. 9 ‖ 13 *αὐτῆς υἱὸν* C ‖ 14 *ἐκεῖνο* ΓCΔ; *ἐκεῖ'* V (*ἐκείνης*?) ‖ 20 cf. sch. Icarom. 8 ‖ 23 *ἐπιτήδειος* (pro *πεπ.*) Ω ‖ 28 *ἤθελεν* Ω

κόλλοπας*] τὰ κολλάβια. ~ Γ

—] οὓς κολλάβους φασίν. εἰσὶ δὲ οἱ πασσαλίσκοι, οἷς ἀποτείνονται αἱ νευραί. ~ CVOΩΔ

θητικῷ*] θῆτες ἐκαλοῦντο παρὰ τοῖς Ἀθηναίοις οἱ πάντων πενέστεροι, ἀπὸ τοῦ θητεύειν, ὅ ἐστι μισθῷ δουλεύειν, τρεφόμενοι. ἐν τῷ θητικῷ οὖν ἐκκλησιάζειν λέγει ἀντὶ τοῦ ἐν τῷ πενιχρῷ τάγματι. ~ ΓVOΩΔ

τελέσματος] δαπανήματος. ~ VΔ 11

πεντακοσιομεδίμνους*] εἰς τέσσαρα διῄρητο τάγματα πᾶσα ἡ πόλις τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, οἵτινες ἦσαν πάνυ πλούσιοι, εἰς ἱππεῖς ἧττον πλουσίους, εἰς ζευγίτας ἔτι ἧττονας, εἰς θῆτας τοὺς πένητας. εἰπὼν οὖν ἀνωτέρω [c. 10] τὴν Ἀφροδίτην ὡς πενιχρὰν εἰς τὸ θητικὸν τελεῖν εἰς πεντακοσιομεδίμνους εἶπε τοῦτον ὡς πλούσιον. ~ ΓVOΩΔ. Addit Δ: οἱ γὰρ πεντακόσιοι μέδιμνοί εἰσι λιτρῶν ια′ χιλιάδες καὶ σν′, κεντηνάρια ριβ′. ~

πυύκα*] πυὺξ λέγεται ἡ ἐκκλησία τῶν Ἀθηναίων παρὰ τὸ πεπυκνῶσθαι τοὺς συνερχομένους ἐν αὐτῇ. ~ ΓCVOΩΔ

Ἡράκλεις*] εἰώθεσαν οἱ ἄνθρωποι ἐν κακοῖς ὄντες ἐπικαλεῖσθαι τὸν Ἡρακλέα ὡς ἀλεξίκακον. εὐμόρφως οὖν ὁ Λουκιανὸς τὸν Ἑρμῆν ἐποίησεν ἐπικαλούμενον τὸν Ἡρακλέα παρὰ τῶν θεῶν ἐνοχλούμενον. ~ VΓOΩΔ 13

τὴν Ἑλλήνων*] ἀντὶ τοῦ τὴν Ἑλληνικὴν γλῶσσαν. ~ ΓVOΔ

εὐπροσωποτάτη*] εὐπρεπής. ~ ΓV 14

προὔσεσθαι] ἀντὶ τοῦ προέσεσθαι. ~ VΩ

διαμέλλεις*] βραδύνεις. ~ ΓVOΩ

πεπαρῴνηται*] ὑβριστικῶς πέπρακται. ~ ΓVOΩΔ

ὀλιγώρως*] καταφρονητικῶς. ~ ΓVOΩ 15

---

2 ὅτι κόλλοπες οἱ κόλλαβοι· εἰσὶ κτλ. C | cf. sch. Adv. ind. 10 | οὓς καὶ κολάβους φησίν Δ ‖ 6 ἐν ᾧ οὖν τῷ Θ. Δ et (om. τῷ) Γ ‖ 9 διήρητο V; διείρηται Γ; διήρηται Δ ‖ 17 cf. sch. Bis acc. 9 ‖ 19 εἰώθασιν ΔOΩ ‖ 21 ἑρμῆν cod. Guelf.; δία cet.

*Καφηρέα**] *ἀκρωτήριον τῆς Εὐβοίας.* ~ ΓVΟΩ —] *ἔχει μὲν ἰδίως καὶ Εὔβοια πρὸς τῇ ἕξω θαλάσσῃ Καφηρέα. Καφηρεὺς δὲ λέγεται τόπος θαλάττης πρὸς τοῖς αἰγιαλοῖς τραχὺς καὶ τεναγώδης σκοπέλοις διειλημμένος καὶ ἕρμασι καὶ χοιράσι καὶ τὰ πρὸς ἀπόβασιν ἀπορώτατος ἅτε κρημνοῖς περιστοιχιζόμενος καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ἔτι καὶ διηνεκέσι τοῖς ἀνέμοις καταπνεόμενος, ὡς ὁ παρ' Ὁμήρῳ [B 396] προβλὴς σκόπελος, "τὸν οὔποτε κύματα λείπει παντοίων ἀνέμων", Καφηρεὺς ὢν καὶ αὐτός. καὶ ἴσως εἴρηται Καφηρεὺς ἀπὸ τοῦ καταπνεῖσθαι ἀνενδότως· κάπος γὰρ τὸ πνεῦμα, ἀφ' οὗ καὶ Ὅμηρος [H 313] 'Αΐαντ' εἰς Ἀγαμέμνονα δῖον ἄγει κεκαφηότα νίκῃ', οἱονεὶ πνευστιῶντα ἤτοι τῷ τοῦ πολεμικοῦ ἀγῶνος καμάτῳ ἢ τῇ ἀγερωχίᾳ τῆς νίκης, τῆς χαρᾶς αὐτῷ τοὺς ἀναπνευστικοὺς πόρους κατευρυνάσης καὶ πέρα τοῦ συνήθους ἐπισπᾶσθαι τὸ πνεῦμα κατεπειγούσης· παρ' ὃ δὴ καί τινες ἔλαθον τελείως ἐκπεπνευκότες μὴ δυνηθέντες τοσοῦτον τὸ ἔκτοθεν ἐπισπάσασθαι πνεῦμα, ὅσον ἐξήρκεσε τὴν ἀπὸ τῆς χαρᾶς εὐρυχωρίαν πληρῶσαι.* ~ VΔ. Addit V: *ἢ ὅτι συναπέρχεται τῇ εὐρύτητι τοῦ συμπτώματος πᾶν τὸ ψυχικὸν πνεῦμα ὡς ἀπό τινος παρὰ λόγον ἐκραγέντος στόματος ἀμέτρως ἐκχεόμενον.* ~

*Κεραμεικῷ**] *δύο ἦσαν Κεραμεικοὶ παρ' Ἀθηναίοις, ὁ μὲν ἐν τῇ πόλει, ὁ δὲ ἔξω τῆς πόλεως. ἐνταῦθα οὖν τὸν ἐν τῇ πόλει λέγει τόπον.* ~ ΓCVΟΩΔ

*τὴν μικρολογίαν**] *τὴν κνιπότητα.* ~ ΓCVΟΩ

*κορυζῶντα**] *ὑπὸ τοῦ γήρως μύξας ἐκχέοντα· κόρυζαι γὰρ αἱ μύξαι.* ~ ΓVΟΩΔ

---

1. 2 coni. V ‖ 2 *πρὸς* Δ Etym.: *ἐν* V | *ἑξῆς* Etym. ; 3 *πρὸς* Δ Etym.; *ἐν* V ‖ 5 *πρὸς* Δ Etym.; *εἰς* V ‖ 6 *προστειχιζόμενος* Δ | *πρὸς* Δ Etym.; *ἐν* V | *ὅλοις* V ‖ 12 *ἄγον* Etym., Hom. | *κεκαφηότα* VΔ Etym.; *κεχαρηότα* Hom. ‖ 13 *πολεμίου* Δ ‖ 15 *παρὰ τὸ σύνηθες* Δ ‖ 18 *ἐπισπᾶσθαι* Δ ‖ 24 *ἐνταῦθα* — 25 *τόπον* om. C ‖ 26 *ὅτι μ. λέγεται ἡ κ.* C

ἑρμάτων*] ὑφάλων πετρῶν. ~ ΓVOΩ

Ποικίλην] Ποικίλη στοὰ ἦν παρ' Ἀθηναίοις· ἐκαλεῖτο δ' οὖν οὕτως ἐκ τῆς ποικίλης ἐν αὐτῇ ζωγραφίας. ~ ΓVOΩΔ 16

διατεινομένους*] ἀμφισβητοῦντας. ~ ΓVOΩΔ

τὸν πώγωνα ἐπισπασάμενος*] ἐπισύρας, χαλάσας. ~ ΓVOΩΔ

Ἐπικούρειον*] Ἐπικούρειοι καὶ Στωικοὶ δύο γένη φιλοσόφων. τούτων οἱ μὲν Ἐπικούρειοι ἄνευ προνοίας ἔλεγον διοικεῖσθαι τὰ πράγματα, οἱ δὲ Στωικοὶ ὑπὸ προνοίας. ~ ΓVOΩΔ

τὸν ἐπίτριπτον*] τὸν ἄξιον τοῦ ἐπιτριβῆναι, τουτέστι πληγῆναι. ~ ΓCVOΩΔ

σαρδάνιον*] σαρδώνιος γέλως λέγεται ὁ ἐν ὑποκρίσει γινόμενος. ~ ΓVOΩΔ

παρομαρτῶν] συνακολουθῶν. ~ V 17

τὸ κήρυγμα* τὸ ἐκ τοῦ νόμου] τοῦτο λέγεται, ὅτι, καθὼς ὁ συμβουλευτικὸς ὑφηγεῖται νόμος, ὃς ἱκανὸς γνώμην εἰσφέρειν, ἀνιστάσθω ἐρῶν, ὅτι καὶ ἔχει. ~ VOΩΔ 18

τελείων*] νόμος ἐκέλευε παρ' Ἀθηναίοις πρώτους λέγειν τοὺς ὑπὲρ τὰ πεντήκοντα ἔτη γεγονότας καὶ μετ' αὐτῶν τοὺς λοιποὺς. οὐκ ἐξῆν δὲ δημηγορῆσαι οὔτε τοῖς ἀτίμοις οὔτε τοῖς ξένοις οὔτε τοῖς μὴ καταλαβοῦσι τὴν ἔννομον ἡλικίαν. τὸ οὖν γινόμενον παρ' Ἀθηναίοις παρὰ τοῖς θεοῖς νῦν ὑποτίθεται. ~ ΓCVOΩΔ

τά γε ἀπὸ καρδίας*] λόγιον ἐπὶ τῶν ἀνεπικρύπτως καὶ ἀπερικαλύπτως λεγομένων μηδὲν ὑποβλεπομένου τοῦ λέγοντος, ἀλλ' ὡς ἔνι τὸ πρᾶγμα διεξιόντος. ~ ΔVOΩ 19

---

1 ὑφάλω πέτρα Γ ‖ 2 cf. sch. c. 32 ‖ 3 οὖν om. V ‖ 6 cf. sch. Catapl. 12 ‖ 12 ἐπίτριπτος ὁ ἄ. κτλ. C | τριβῆναι Γ; ἐπιτριβῆναι cet., cf. Etym. ‖ 16 παρομαρτεῖ· παρακολουθεῖ Phot. ‖ 17 λέγει Δ ‖ 20 νόμος ἦν C ‖ 21 αὐτῶν ΓV; αὐτὸν C; αὐτοὺς Δ; μετὰ τούτους OΩ ‖ 24 τὸ — 25 ὑποτ. om. C ‖ 25 νῦν ante παρὰ V ‖ 26 ἀνεπικρύπτων codd. ‖ 27 ἀπαρακαλύπτων Δ ‖ 28 ὡς ἔχει Δ

*Θέμιν**] *Θέμις ἐστὶν ἡ δίκη. καλῶς δὲ τὴν δίκην ὤμοσεν ὡς δικαίως τῶν Θεῶν ἀπολαμβανόντων, ὅτι αὐτοὶ ἥμαρτον.* ~ ΓVΟΩΔ

20 *Ἅλυν**] *Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ἐρωτήσαντι, εἰ διαβῇ τὸν Ἅλυν κατὰ Κύρου τοῦ Περσῶν βασιλέως, ἀπεκρίνατο, ὅτι διαβὰς μεγάλην ἀρχὴν καταλύσει. ὁ δὲ ἀγνοήσας, ποίαν ἀρχήν, διαβὰς τὸν Ἅλυν τὴν ἰδίαν ἀπώλεσεν.* ~ ΓVΟΩΔ

*ὦ Θεία Σαλαμίς**] *Περσῶν καὶ Ἑλλήνων ναυμαχεῖν ἐν Σαλαμῖνι μελλόντων ἔχρησε τοῖς Ἕλλησιν ὁ Ἀπόλλων τοῦτον τὸν χρησμόν. λέγεται δὲ αὐτὸν Θεμιστοκλῆς ὁ Ἀθηναῖος νοῆσαι· οὐκ ἂν γάρ, φησί, Θείαν ἐκάλει τὴν Σαλαμῖνα, εἰ ἐν αὐτῇ πίπτειν ἔμελλον Ἕλληνες, πόλιν οὖσαν Ἑλληνικήν· ὥστε τὸν τῶν Περσῶν προεμαντεύσατο θάνατον.* ~ ΓVΟΩΔ

*ἀγαπᾶν**] *ἀρκεῖσθαι, εὐχαριστεῖν.* ~ ΓVΔ

21 *παρεγγράπτων**] *πάντες οἱ πολῖται παρ' Ἀθηναίοις ἐν γραμματείῳ ἐνεγράφοντο. εἴ τις οὖν μὴ ὢν πολίτης ἐνεγράφη παρ' ἀξίαν, παρέγγραπτος ἐκαλεῖτο. διὰ τοῦτο τούτους παρεγγράπτους ὠνόμασεν.* ~ ΓCVΟΩΔ

*Θησεύς**] *ὁ Αἰγεὺς Ἀθηναῖος ὢν ἐν Τροιζῆνι πόλει τῆς Πελοποννήσου συνεκαθεύδησεν Αἴθρᾳ τῇ Θυγατρὶ τοῦ Πιτθέως, ἡ δὲ Αἴθρα ἐγέννησε τὸν Θησέα. ὁ τοίνυν Θησεὺς εἰς τὰς Ἀθήνας πρὸς τὸν πατέρα ἐρχόμενος πολλοὺς ληστὰς εὑρὼν πάντας ἀπέκτεινεν ἐν τῇ ὁδῷ πορευόμενος.* ~ ΓVΟΩΔ

*Σκείρωνα** κτλ.] *λησταὶ ἦσαν οὗτοι κατὰ τὴν ὁδὸν τὴν ἀπὸ Τροιζῆνος εἰς τὰς Ἀθήνας διάγοντες.* ~ ΓVΟΩ

---

2 *ὑπολαμβανόντων* ΔΟΩ ‖ 4 cf. sch. c. 43 ‖ 9 cf. sch. c. 31 12 *νοῆσαι* VΔ; *ησαι* Γ ‖ 18 *ἐγράφοντο* C ‖ 19 *παρ' ἀξίαν* om. C | *παρέγγραφος* C | *διὰ κτλ.* om. C ‖ 26 — p. 65, 20 alio ordine leguntur in V: *λησταὶ — διάγοντες, σκείρων — κατήσθιεν, πιτυοκάμπης —, ὁ δὲ κερκυὼν —, ἦν δὲ καὶ ἕτερός τις ὄνομα λιτυέρτης —, καὶ φάλαρις —, βούσιρις δὲ —, ὁ δὲ ἔχετος —, διομήδης δὲ κτλ.* ‖ 27 *διάγοντες* ΟΩ; *διάγοντα* Γ; *ἄγουσαν* V; *διάγουσαν* Vat. 86

*Πιτυοκάμπτην**] *Φάλαρις ὁ Ἀκραγαντῖνος· οὗτος χαλεπωτάτας ἐπενόει κολάσεις. Βούσιρις ὁ Αἰγύπτιος· οὗτος ὠμὸς ἦν ὡς καὶ ἀνθρώπους ἐσθίειν. Διομήδης ὁ Θρᾷξ· οὗτος ἀνθρωποφάγους ἵππους εἶχε, καὶ οὓς ἐκράτει, ἔβαλλεν αὐτοῖς. Σκείρων ὁ ληστής· οὗτος ἠνάγκαζε τοὺς παριόντας πλύνειν τοὺς πόδας ἐπὶ τῆς θαλάσσης καθημένους καὶ λακτίζων εἰς θάλασσαν ἔρριπτε καὶ ἡ χελώνη δεχομένη κατήσθιεν. Πιτυοκάμπτης· οὗτος ληστὴς ὢν ἔκαμπτε πίτυς καὶ ἠνάγκαζε τοὺς παριόντας κρατεῖν, οἱ δ' ἀναρριπτούμενοι ἀπώλλυντο. Λιτυέρσης· οὗτος σπείρων ἠνάγκαζε τοὺς παριόντας θερίζειν τοῦ θέρους ἐνισταμένου, εἰ δὲ ἀντέτειναν, ἔκτεινεν αὐτούς· Ἡρακλῆς δὲ τοῦτον ἀπέκτεινεν. Κερκυών· οὗτος ἄδικος ἦν τἆλλα ἐς τοὺς ξένους καὶ παλαίειν τὸν οὐ βουλόμενον διέφθειρεν· καὶ ὁ τόπος παλαίστρα ἐκαλεῖτο, ἐν ᾧ ᾤκει, πλησίον Ἐλευθερῶν· διέφθειρε δὲ πάντας τοὺς καταστάντας αὐτῷ ἐς πάλην πλὴν Θησέως, Θησεὺς δὲ κατεπάλαισεν αὐτὸν σοφίᾳ πλέον· παλαιστικὸς γὰρ εὑρέθη Θησεὺς μεγέθει πρῶτον καὶ ῥώμῃ χρώμενος ἐς τὰς πάλας. Ἔχετος τῆς Ἠπείρου βασιλεὺς τιμωρητικώτατος.* ∼ ΓCVOΩΔ

---

2 *ἐνεποίει* C | *οὕτως* VΔ ‖ 4 *οὗτος* om. C | *ἀνθρωπ.* post *εἶχεν* V | *ἔβαλεν* CΔ ‖ 5 *καὶ κατεσθίοντο ὑπ' αὐτῶν* post *αὐτοῖς* add. C | *οὗτος* om. C ‖ 6 fort. *αὐτοῦ τοὺς πόδας*, cf. Apollod. epit. Vatic. p. 173, 7 Wagner ‖ 8 *πιτυοκάμπης* ΓV | *λ. καὶ οὗτος* C ‖ 9 *πίτυς* Apollod. III 16, 2, 1; *πίτυν* codd. ‖ 9. 10 *ἀναρριπτούμενοι* Apollod.; *ἀναταιριζόμενοι* Γ; *ἀντεριζόμενοι* C; *ἀνατανυζόμενοι* VΔ; *ἀναρριπιζόμενοι* Ω (O evan.); *μετεωριζόμενοι* Jacobitz ex 'C' (= Coll. Galei?); *ἀνατιτανόμενοι* ed. Amstelod. ‖ 10 *ἀπώλοντο* C; *ἀπωλλυντο* Γ; post *ἀπώλλυντο* addit Δ: *σίνις τούτω τὸ ὄνομα· ἅμφω δ' ἀπέκτεινεν ὁ Θησεύς* | *λιτυέρτης* codd. | *οὗτος* om. C ‖ 12 *ἀντέτινέν τις* C ‖ 13 *οὗτος* om. C ‖ 14 *παλαίειν ἠνάγκαζε καὶ τὸν* V | *ὁ τόπος οὗτος παλαίστρα — ἐκαλεῖτο Κερκυόνος* Paus. I 39, 3 ‖ 17 *τὸ πλέον* Paus. ‖ 18 haec nimis contracta sunt, cf. Paus.: *παλαιστικὴν γὰρ τέχνην εὗρε Θησεὺς πρῶτος καὶ πάλης κατέστη ὕστερον ἀπ' ἐκείνου διδασκαλία· πρότερον δὲ ἐρρῶντο μεγέθει μόνον καὶ ῥώμῃ πρὸς τὰς πάλας* ‖ 20 *τιμ. ἦν* C

ἐργατικόν*] τὸν Ἡρακλέα. ~ ΓV

22 κνισᾷ — βωμούς*] καπνὸν ἐν τοῖς βωμοῖς ἀπεργάζεται. ~ ΓV

μόνων καρπουμένων*] μόνων ἑστιωμένων. ~ Δ

24 ὑπέρσχῃ*] ὑπερβάλῃ, νικήσῃ. ~ Δ

25 ἐξ Ὀλυμπίας*] γράφεται ἐκ Πίσης. ~ VΓ2OΩ

ἐκ Πίσης*] γράφεται ἐξ Ὀλυμπίας. ~ Δ

—] Πῖσα πόλις τῆς Ἠλιακῆς μοίρας Πελοποννήσου, καθ' ἣν καὶ ἀγὼν ἐτελεῖτο τὰ Ὀλύμπια. ~ CVOΩΔ

μνᾶν*] ἡ μνᾶ ἓξ δραχμὰς ἔχει, ἡ μνᾶ δὲ εἶχεν ἡ Ἀττικὴ δραχμὰς ρ΄, ὥς φησι Πολυδεύκης [9, 59]. Εὔπολις Κόλαξιν [fr. 149. C. A. F. I 298 K.] 'δεῖπνον θὲς ρ΄ δραχμάς' καὶ ἐπιφέρει 'κόλαξιν οἶνον θὲς ἑτέραν μνᾶν', δηλῶν, ὅτι μνᾶν εἶρηκε καὶ τὰς προτέρας ρ΄ δραχμάς. ἡ μέντοι δραχμὴ εἶχεν ὀβολοὺς ς΄, ὅθεν καὶ ἐπωβελία τὸ ἕκτον τοῦ τιμήματος. ~ ΓCVOΩΔ

Γεραιστῷ*] Γεραιστὸς πόλις Εὐβοίας οὕτω μέχρι νῦν λεγομένη καὶ ὁ Ὠρεὸς πόλις Εὐβοίας, οὗ οἱ πολῖται Ὠρεῖται λέγονται. ~ ΔCVOΩ. Addit Δ: μέμνηται Δημοσθένης [4, 34 cet. 8, 59 cet.]. ~

ἐρήμης*] ἐρήμη λέγεται, ἡνίκα ὁρισθείσης περὶ τῆς δίκης ἡμέρας ὁ εἷς τῶν ἀντιδίκων ἀπολειφθείη· τότε γὰρ οἱ δικασταὶ καταδικάζουσι τοῦ ἀπολειφθέντος ἐρήμην. ~ ΓVOΩΔ

θυννῶδες*] ἐπειδὴ τὰς θύννας οὐ λόγῳ καὶ ἀμφισβητήσει νικῶμεν ἀλλὰ τριαίναις ἀναιροῦμεν, εἰκότως τὸ φονεῦσαι τὸν Δᾶμιν θυννῶδες ὠνόμασεν. ~ ΓVOΩΔ

ἀμφήριστον*] ἀμφισβητήσιμον. ~ ΓV

26 χάριεν*] γελοιῶδες, ἀνόητον. ~ ΓVOΩ

---

6 γρ. om. ΓOΩ | sch. 6 et 8 coni. V (πίσα δὲ) || 8 cf. sch. De sacr. 11 || 10 ἡ δὲ ἀττ. μνᾶ εἶχε VΔ, cf. Poll. || 11 ὁ πολ. V | Εὔπολις — 14 δραχμάς om. C || 13 εἶτα pro καὶ Poll. | κόλαξιν om. Poll. || 14 ἑτέρας Poll. || 15 ἐπωβολία codd. || 18 ὁ om. C

ἐς τὸ τῶν δώδεκα: ἀφ' οὗ οἱ δώδεκα θεοὶ ἄρχειν ἐτάχθησαν, δηλονότι παυθείσης τῆς Κρόνου ἀρχῆς. ~ VOΩΔ

ληξιαρχικόν*] δύο ἦσαν γραμματεῖα παρὰ τοῖς Ἀθηναίοις καὶ ἐν τῷ ἑνὶ ἐνεγράφοντο ἅμα τῷ γεννηθῆναι, ἐν δὲ τῷ ἑτέρῳ, ἡνίκα τῆς ἐννόμου ἡλικίας ἐγένοντο· τοῦτο δὲ ἐκαλεῖτο ληξιαρχικόν, ἐπειδὴ οἱ ἐγγραφόμενοι ἐν αὐτῷ κύριοι ἐγίνοντο τότε τῆς πατρῴας λήξεως, τουτέστι τοῦ κλήρου καὶ τῆς ὑποστάσεως. ~ ΓVOΩΔ. Addit V: λῆξις γὰρ ἐκαλεῖτο ἡ πατρῴα κληρονομία. ἐπὶ οὖν τῶν ὀρφανῶν καταλειπομένων ὑπὸ ἐπιτρόπους παρεπέμπετο τὰ πατρῷα, ὡς ἂν αὐτῶν διεπόντων μὴ φθείροιτο τὰ τῶν ὀρφανῶν· εἶτα ἐπειδὰν ἐπὶ διετὲς οἱ ὀρφανοὶ ἤβησαν, ἐξῆν αὐτοῖς ἀπὸ τῶν νόμων εἰς τὸ ληξιαρχικὸν ἐγγραφέντας ἀναλαμβάνειν τὰ πατρῷα. τόδε ἦν τὸ τῆς λήξεως ἤτοι τῆς ἑαυτοῦ ἄρχειν κληρονομίας. τοῦτο νῦν ἐνταῦθα εἰς τὸν Ἀπόλλωνά φησιν ὁ Ζεὺς ὡς ‘εἰ καὶ ἀγένειος εἶ καὶ τοῦτο αἰτιᾷ τὸ μὴ ἐξὸν εἶναί σοι λέγειν, ἀλλ' οὖν ἔξεστι· πάλαι γὰρ τῆς αὐτεξουσιότητος ἐπελάβου, ὡς καὶ ὑπὲρ ἄλλου καὶ ὑπὲρ ἑαυτοῦ ἐξεῖναί σοι λέγειν καὶ γνώμην εἰσηγεῖσθαι τῷ βουλομένῳ’. τὸ δὲ ὀλίγου δεῖν τῆς ἐπὶ Κρόνου βουλῆς ὧν ἀντὶ τοῦ σχεδὸν τῶν ἐπὶ Κρόνου τὴν βουλὴν συμπληρούντων θεῶν· οὕτω γὰρ ἦσαν οἱ πάλαι θεοί, ὡς καὶ Ἡροδότῳ δοκεῖ τῷ Ἁλικαρνασσεῖ [cf. 2, 43]. ~

τῆς ἐπὶ Κρόνου* βουλῆς] ὁ Κρόνος, ὡς οἱ Ἕλληνες λέγουσι, πρώην ἐβασίλευε τῶν θεῶν καὶ εἶχεν ἄλλους ια' τοὺς σὺν αὐτῷ διοικοῦντας. διωχθεὶς δὲ τῆς βασιλείας ἐκ τοῦ Διὸς τοῦ ἰδίου υἱοῦ ἐβλήθη εἰς τὸν Τάρταρον καὶ μετὰ τοῦτο ἄλλη συνέστη βουλὴ τοῦ Διός. ~ ΓVΩΔ

ἐφιέναι] συγχωρεῖν, ἐπιτρέπειν. ~ ΓV

Ἑλικῶνι*] Βοιωτίας ὄρος, ἐν ᾧ διατρίβειν αἱ Μοῦσαι ἐλέγοντο. ~ ΓVΩΔ

---

14 τὸ δὲ edit. || 15 τοῦτον V | fort. οὖν pro νῦν || 16 fort. Μῶμος pro Ζεὺς || 16. 17 fort. τοῦ μὴ ἐξεῖναί || 19 τῷ suspect. || 25 ἐβασίλευσε V || 30 cf. sch. Adv. ind. 3

27 *γέλωτα ὀφλισκάνει**] *γέλωτα χρεωστεῖ, ἀντὶ τοῦ γελᾶται.* ~ ΓVΟΩΔ

βατταρίζων] *τὸ ἐν τῇ συνηθείᾳ βερβερίζων.* ~ CVΟΩΔ

—] *ὁ Βάττος· οὗτος τῆς κατὰ Κυρήνην ἀποικίας ἡγήσατο μογιλάλος τις ὤν. ἀπὸ τούτου καὶ τοὺς μὴ εὐθυστόμους μηδὲ τρανῇ κεχρημένους τῇ γλώσσῃ ἀλλ' ἐπισεσυρμένως φθεγγομένους καὶ παρασήμως βατταρίζειν φασίν.* ~ VΔ

συνεῖναι μὲν γάρ: ἀντὶ τοῦ διδάσκειν, ἐκπαιδεύειν. ~ VΟΩ

28 *τοῦτο μὲν κτλ.*] *ἴδε, γόης τῷ ὄντι ἀμίμητος Λουκιανὸς οὑτοσί.* ~ Δ

λοξὸς καλεῖται ὁ Ἀπόλλων διὰ τὸ λοξὰ μαντεύεσθαι, ὅ ἐστι στρεβλὰ καὶ ἄδηλα. ~ ΓVΟΩΔ

*γριφώδης**] *γρῖφός ἐστι τὸ προτεινόμενον δύσλυτον ζήτημα. γριφώδης οὖν εἶπεν ἀντὶ τοῦ ἀσαφής.* ~ ΓVΟΩΔ

30 *πλίνθους** *χρυσᾶς*] *Κροῖσος γὰρ ὁ Λυδῶν βασιλεὺς χρυσᾶς αὐτῷ πλίνθους προσήγαγεν.* ~ ΓVΟΩΔ

*ἐν Δελφοῖς** *κτλ.*] *ἐν τούτοις γὰρ τοῖς τόποις ὁ Ἀπόλλων, ὡς λέγουσιν, ἐμαντεύετο. ἔστι δὲ οἱ μὲν Δελφοὶ ἐν Φωκίδι, ἡ δὲ Κολοφὼν ἐν Ἀσίᾳ.* ~ ΓVΟΩΔ

*ἄρνεια** *κρέα κτλ.*] *τοῦτο γὰρ ὁ Κροῖσος ποιήσας ἔπεμψεν ἐρωτῶν αὐτόν, τί διαπράττεται, ἀποπειράζων.* ~ ΓΟ

—] *Κροῖσος γὰρ ἀποπειρώμενος τοῦ ἐν Δελφοῖς μαντείου, εἰ ἀληθὲς εἴη, ἐποίει τοιοῦτο· Θεοπρόπους εἰς Δελφοὺς ἀποστέλλων ἔταξεν αὐτοῖς ῥητὴν ἡμέραν μετὰ τὸ ἀφικέσθαι κατὰ ταύτην τὴν ἐμπρόθεσμον ἀνερέσθαι τὴν Πυθίαν, τί νῦν διατελεῖ πράττων ὁ Κροῖσος. ἐποίει δὲ ταῦτα τηνικάδε Κροῖσος· λέβητα εἰς λέβητα ἐπεμβαλών, εἶτα χελώνης κρέα καὶ ἀρνειοῦ συγκατακόψας καὶ τῷ λέβητι τῷ διπλῷ*

---

3 *ὅπερ ἐν — βαρβαρίζειν* post 7 *φασίν* Δ | *ὅτι βατταρίζειν τὸ ἐν τ. σ. λεγόμενον βερβερίζειν* C ‖ 3. 4 coni. V | cf. Arethas in Dion. Chr. XI 27 (p. 108 Sonny) ‖ 11—14 coni. VΔ ‖ 13 *γρίφον* ΓV, cf. Etym. ‖ 18 *εἰσὶ* edit. ‖ 20 cf. sch. Iov. conf. 14 23 *εἰ ἀληθεύοι* Δ ‖ 27 *ἀπεμβαλὼν* V; *ἐπεμβάλλων* Δ ‖ 27. 28 *κρέα χελώνης* Δ

ἐμβαλὼν ἥψει. ἅπερ ἅπαντα ἡ Πυθία ἀνεῖλεν ὡς ἐπράττετο, μάλιστα περὶ τῶν τῆς χελώνης κρεῶν

"ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης". ~ VΔ

Addit Δ: ἡ ἱστορία πλατύτερον μετὰ τοῦ χρησμοῦ παρὰ Ἡροδότῳ [1, 47]. ~

κορυβαντῶδες*] μανιῶδες· οἱ γὰρ Κορύβαντες δαίμονές εἰσι περὶ τὴν Ῥέαν. ~ ΓVΟΩΔ

κατόχιμα*] μανιώδη. ~ ΓV

φρικώδη] φοβερά. ~ ΓV

ἐχέτλης*] ἐχέτλη τοῦ ἀρότρου τὸ κράτημα. ~ Δ 31

Θεμιστοκλέους*] καὶ γὰρ μόνος ὁ Θεμιστοκλῆς συνῆκε τοῦ δοθέντος Ἀθηναίοις χρησμοῦ, ὅτε περὶ Ἀθηνῶν ἐπὶ Ξέρξου ἐμαντεύοντο Ἀθηναῖοι, εἰ ἄμεινον αὐτοῖς ἐκλιπεῖν τὸ ἄστυ, καὶ ἀνεῖλεν ἡ Πυθία τὸ 'τεῖχος δὲ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς Τριτογενείῃ' καὶ "ὦ θεία Σαλαμίς, ἀπολεῖς δέ σου τέκνα γυναικῶν". ὡς οὖν μόνου Θεμιστοκλέους ἀνευρόντος, ὅτι καὶ λέγει ὁ χρησμός, τοῖς δ' ἄλλοις ἀσυνέτου ὄντος, τοῦτο καὶ νῦν διασύρει ὁ Μῶμος, ὅτι σαφέστερα ταῦτα τοῦ χρησμοῦ ἐκείνου, ὡς μὴ δεῖσθαι Θεμιστοκλέους ἐξηγητοῦ. ~ VΔ. Addit Δ: ἡ ἱστορία πλατύτερον παρ' Ἡροδότῳ [7, 141 sq.]. ~

μέτοικός* εἰμι] ἐπειδὴ ἄνθρωπος ὤν, ὡς λέγουσι, πρώην 32 γέγονε θεὸς καὶ εἰς οὐρανὸν μετώκησεν. ~ ΓVΟΩΔ

Ἡράκλεις ἰώ*] τοῦτο εἰώθασιν ἐπὶ θαυμασμοῦ λέγειν. ~ ΓVΟΩΔ

—] τὸ Ἡράκλεις ἐπίφθεγμα ἐκπληκτικόν. ἐκπληττόμενος οὖν τοῦτο πρὸς Ἡρακλέα φησίν. ~ ΔVΟΩ

Βοιώτιον*] οἱ γὰρ Βοιωτοὶ ἐπὶ ἀνοίᾳ διαβάλλονται, Βοιωτὸς δὲ ὁ Ἡρακλῆς. ~ ΓΔ

---

2 τὸ περὶ Δ | κρεῶν οὕτως Δ ‖ 3 ἦλυθε VΔ | κρατερῆς Δ | 6—9 coni. V ‖ 9 φοβερά in ΓV una cum μανιώδη ad κατόχ. relatum ‖ 11 cf. sch. c. 20 ‖ 13 ἐκκλίνειν Δ ‖ 17 λέγοι Δ ‖ 18 ὄντος τούτου Δ ‖ 21 πλατύτερος Δ ‖ 24—26 coni. V (ἔστιν οὖν ἐπ.) ‖ 27 φησιν om. V; post οὖν ΟΩ

—: εἰς ἀμαθίαν ἐσκώπτοντο οἱ Βοιωτοί· ἀφ' οὗ καὶ ἡ παροιμία Βοιωτία ὗς. ἐπεὶ οὖν Ἡρακλῆς Βοιωτός — ἐξ Ἀλκμήνης γάρ —, δριμέως πάνυ ἐπέσκωπται· τὸ μὲν γὰρ προφανὲς τὸ ἀπὸ τοῦ τόπου ἐπισημαίνεται, τὸ δὲ νοούμενον εἰς ἀμαθίαν αὐτὸν διασύρει ὡς Βοιωτόν. ~ VOΩΔ

στοάν* — Κυναιγείρῳ] ἐν ταύτῃ γὰρ τῇ στοᾷ τῇ λεγομένῃ Ποικίλῃ τὰ κατὰ Μαραθῶνα ἐγέγραπτο, ἐν Μαραθῶνι δὲ Ἀθηναῖοι Πέρσας ἐνίκησαν. Κυναίγειρος δὲ εἷς τῶν ἀριστευσάντων ἐν Μαραθῶνι κατὰ Περσῶν, ὁ δὲ Μιλτιάδης στρατηγὸς ἦν τότε τῶν Ἀθηναίων. ~ ΓCVOΩΔ.

Addunt VΔ: διασύρει δὲ καὶ τοὺς κατ' ἐκεῖνο καιροῦ ῥήτορας ὡς συχνότερον τούτων μεμνημένους οὐδὲν δέον ἐν ταῖς δημηγορίαις ἀλλ' ἐκπλήξεως χάριν τοῦ χυδαίου ὁμίλου, ὥσπερ καὶ αὐτὸς οὗτός φησι διαπαίζων ἐν τῷ Ῥητόρων διδάσκαλος [c. 18]. ~

εὖ γε*, οἰκοθεν ὁ μάρτυς] παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας, τὸ ἐν τῇ συνηθείᾳ ἐξ οἴκου ἡ μαρτυρία. καλῶς οὖν ἐχρήσατο αὐτῇ, ἐπειδὴ κατὰ τῶν θεῶν νῦν ὁ Ἡρακλῆς ἐλάλησεν. ~ ΓVOΩΔ

33 ἀγοραῖος*] Ἑρμῆς ὁ ἀγοραῖος ἐτιμᾶτο παρὰ τοῖς Ἀθηναίοις ὡς ἐν τῇ ἀγορᾷ ἱδρυμένος. εἰκότως δὲ ἀδελφὸν ἐκάλεσε τοῦ Ἑρμοῦ τὸ ἄγαλμα αὐτοῦ. ~ ΓVOΩΔ

πίττης γοῦν ἀναπέπλασται*] οἱ γὰρ ποιοῦντες τοὺς ἀνδριάντας καὶ τὰ ἀγάλματα ἔθος εἶχον περιπλάττειν τὸ ἄγαλμα τοῦ Ἑρμοῦ πίσσῃ καὶ οὕτω λαμβάνειν ἐξ αὐτοῦ ἐκτύπωμα, ἵνα πρὸς αὐτὸ ποιήσωσιν. ~ ΓVOΩΔ

δσημέραι*] καθ' ἑκάστην ἡμέραν. ~ ΓΔ

πισσούμενος: περιπλαττόμενος. ~ Γ

---

4 τὸ ἀπὸ τοῦ τόπου Δ; τὸ πρὸς τύπου OΩ: om. V ‖ 6 cf. sch. c. 16 ‖ 6. 7 ὅτι ποικ. στοὰ λέγεται, διότι τὰ κατὰ μαρ. γινόμενα ἐν αὐτῇ ἐνεγέγραπτο. καὶ ἐν μ. δὲ κτλ. C ‖ 9 περσῶν ἦν C ‖ 10 ἦν post ἀθηναίων C ‖ 15 διδασκάλῳ edit. ‖ 17 fort. μαρτυρίας ‖ 17 τὸ — 18 μαρτυρία V; om. ΓOΩ; post 16 παροιμία pos. Δ ‖ 20 ὁ om. V

πιττούμενος] πίσσῃ πλαττόμενος. ~ V

κεκράκτας*] τοὺς τὰ μεγάλα κράζοντας. ~ ΓVΔ

Δᾶμίν* τε καί] μέλλοντος εἰπεῖν Ἑρμοῦ Δᾶμίν τε καὶ Τιμοκλέα' ὁ Ζεὺς τὸ πρᾶγμα νοήσας ἀνακόπτει αὐτόν. ~ ΓVΟΩΔ

εἰ πάλαι*] εἰ ἐκ πολλοῦ. ~ ΓV

ἀκροβολισμοῖς*] ἀκροβολισμός ἐστιν, ὅτε, πρὶν συμβάλλουσιν οἱ πολέμιοι, ἀλλήλους βάλλουσι τοῖς βέλεσι καὶ τοῖς λίθοις. ~ ΓVΟΩΔ

παρὰ πολύ*] κατὰ πολύ. ~ Γ 35

εἶτ'* οἱ ἄνθρωποι] εὗρον οὕτως Ἰἄνθρωποι', ἵν' ᾖ 36
σχετλιαστικὸν ἐπίρρημα συναληλιμμένον τῷ ἄνθρωποι. εἰώθασι δὲ οἱ μετρικοὶ τοῦτο ποιεῖν κἀν ταῖς παραθέσεσιν. ~ VΟΩ

Ἰὦνθρωποι] τὸ ἐντελὲς Ἰὼ ἄνθρωποι', σχετλιαστικὸν ἐπίρρημα συναληλιμμένον τῷ ἄνθρωποι. εἰώθασι δὲ οἱ μετρικοὶ τοῦτο ποιεῖν κἀν ταῖς παραθέσεσιν, ὁποῖον καὶ τὸ Ἀληθινὰ 'γώ' καὶ τὸ [Arist. Pac. 145]

"ἐν Πειραιεῖ δήπου 'στὶ Κανθάρων λιμήν".

καὶ ἔτι οἱ καταλογάδην χρῶνται τῷ τοιούτῳ, ὡς καὶ Πλάτων [Clit. 407 A] "ποῖ φέρεσθε, ὦνθρωποι;" ἔστι γὰρ τὸ ἐντελὲς Ὦ ἄνθρωποι'. ~ Δ

καί σε μετίασιν*] καί σε μετέρχονται, ὅ ἐστι τιμωροῦνται. ~ ΓV

Ἀρέθα. "σὺ δὲ τάξιν αὐτῶν ὀνομάζεις τὴν ἀνάγ- 38
κην." τίνα ταύτην, βέλτιστε Δᾶμι, φῂς τὴν ἀνάγκην; ἔστι τις ἀνάγκη χηρεύουσα τοῦ καταναγκάζοντος; οὐκ ἂν σὺ πάντως ἐρεῖς σωφρονῶν, ὅτι μηδὲ διάθεσις τοῦ διατι-

---

2 τὰ om. Δ ‖ 8 ἀλλήλους VΟΩ Etym.: ἀλλήλοις ΓΔ | βέλεσι VΟΩ Etym.; βόλοις ΓΔ ‖ 11 οὕτως οἱ ἄν. V ‖ 18 ἀληθίν' ἃ 'γὼ Bast ‖ 19 Κανθάρου Arist. ‖ 23 γρ' καί σε κτλ. V ‖ 25 Ἀρέθα Δ; πρὸς τὸν αὐτὸν περὶ ἑτέρων ληρημάτων Mosq. (in cod. Mosq. praecedit scholion ad c. 47 p. 78, 27 | lemma om. Mosq. ‖ 26 βέλτιστε — ἀνάγκην Δ; φῂς ἀνάγκην ὀλέθριε Mosq.

Θέντος ἐκτὸς μηδὲ κίνησις τοῦ κινοῦντος χωρίς, μὴ ὅτι ἂν εἴποι τις τῶν ἐνυφισταμένων ἢ παρυφίστασθαι λεγομένων. εἰ δὲ καὶ φήσεις, ἤτοι ἐξ αὐτομάτου ἐρεῖς ἢ οὐκ ἐξ αὐτομάτου, καθότι μηδ' ἔστι τούτων δυνατὸν μεταξὺ ἄλλο ἐπινοεῖν. ἀλλὰ ταύτην γε τὴν ἀνάγκην εἰ μὲν ἐξ αὐτομάτου, πρῶτον μὲν πῶς καὶ τί τὸ αὐτόματον τοῦτο, ὃ ταῖς ῥοπαῖς προσχρησάμενον τῶν στοιχείων καὶ ταῖς ποιότησιν οὕτως ἐντέχνως καὶ καταλλήλως τὰ διὰ τούτων ἀποτελεῖ; καὶ ἔτι τούτων τῶν ἀνωτέρω τίς τὰς ποιότητας ἢ πόθεν προαγαγὼν εἶτα κεράσας προσήγορον συνδρομὴν εἰς γένεσιν τῶν ἁπλουστέρων ἀπείργασται σωμάτων, ἀφ' ὧν ἅπασι τοῖς ἐγκοσμίοις ἡ σύνθεσις, καὶ τὸ τοῖον πόθεν ἀλλὰ μὴ τοῖον εἶναι [καὶ] ἑκάστῳ ἀποκεκλήρωται, καὶ ταῦτα μιᾶς ἁπάντων φύσεως ἠρτημένων, ὅσον εἰς ὅρασιν καὶ ἁφὴν ἥκειν καὶ τόπῳ περιστοιχίζεσθαι; ἢ σύ μοι ἑώρακας πώποτε ξύλον εἰς χρυσὸν μεταβάλλον ἢ λίθον εἰς ξύλον καὶ ἔμπαλιν ἢ ἀνθρωπόμορφον λέοντα ἢ ῥύγχος ἄνθρωπον συὸς περικείμενον; πότε δὲ ἢ ποῦ σὺ τεθέασαι φυτὰ μὴ κατὰ ταὐτὰ τὴν βλάστην ἀεὶ καὶ τὰς ῥίζας ποιούμενα ἢ μὴ τῇ παρ' ἀλλήλων διαδοχῇ τὸ ὁμοφυὲς διασῴζοντα; ζῷα δὲ τίς τὸ παράπαν κατέλαβεν οὐχὶ κατὰ λόγον καὶ ὡς ἂν ὁ λόγος αἱρῇ δεδημιουργημένα κἀκεῖνα πάλιν τοῖς μετ' αὐτὰ τὴν ὁμοιότητα παραπέμποντα; καὶ ἵνα πάλιν πρὸς τὰ ἀρχοειδέστερα τὸν λόγον ἀνάξωμεν φιλοτιμότερον, τίς αὐτοῖς ἐνέθηκε τοῖς στοιχείοις ῥοπὴν ἢ ταῖς καταλλήλοις ποιότησιν ἕκαστον τούτων κεράσας ταῖς αὐταῖς ταύταις καὶ

2—3 τις εἴποι ἀποτέλεσμα τοῦ ἀποτελοῦντος ἤτοι, om. cet., Mosq. ‖ 2 fort. ἐνυφίστασθαι ἢ ‖ 4 καθότι — 5 ἐπινοεῖν om. Mosq. ‖ 9 καὶ — 15 περιστοιχίζεσθαι om. Mosq. ‖ 11 ἀπειργάσθαι Δ ‖ 13 καὶ delevi ‖ 15 ἥκε Δ ‖ 16 ξύλον εἰς — 18 τεθέασαι om. Mosq. ‖ 19 καταυτὰ Mosq. ‖ 20 ὁμογενὲς Mosq. ‖ 21 τεθέαται pro κατέλαβεν Mosq. | λόγους Mosq. ‖ 22 ὁ λόγος Mosq.; ὅλος Δ | αἱρῇ Δ; ἐρεῖ Mosq. | πάλιν om. Mosq. 22. 23 μετὰ ταῦτα Δ ‖ 23 καὶ — 24 φιλοτ. om. Mosq. ‖ 24. 25 τίς δὲ καὶ αὐτοῖς Mosq. ‖ 25 οἰκείαις pro καταλλ. Mosq.

μάχεσθαι πρὸς ἄλληλα παρεσκεύασε καὶ πάλιν συνδεῖσθαι τοῖς ἐναντίοις νόμῳ φιλίας καὶ τάξεως; οὐκ ἂν γὰρ διέσῳζε ταῦτα τοὺς αὑτῶν ὅρους τὴν πρὸς τὸ ἕτερον ὑποστάντα κοινωνίαν, ἀλλὰ διέφθειρεν ἄλληλα τῶν κατακρατουμένων ἀεὶ μερῶν ὁποτέρου τούτων θατέρῳ τῷ κατακρατοῦντι ἀφανιζομένων καὶ ταύτῃ τοῦ ἀλληλοφθόρου ἀνευρίσκοντος τὸ παρρησιάζεσθαι, οὐδὲ αὖ τὴν πρὸς τὸ ἀντίπαλον ἀνάκρασιν καὶ αὖθις διάλυσιν κατεδέχετο, μή τινος κρείττονος αἰτίας ἠπίως ἐνεισδιδούσης αὐτοῦ συγκρίνεσθαί τε καὶ διακρίνεσθαι καὶ πρὸς τὴν οἰκείαν ἠρέμα φύσιν ἀποκαθίστασθαι, τοῦ συγκεχύσθαι καὶ συμπεφύρθαι ἄγαν εὐκρινῶς προμηθουμένης τῷ διαστέλλοντι. σπένδεται γοῦν ξηρότης ὑγρότητι ψυχρότητος † πρὸς θερμότητα μεσιτευούσης ὑγρότητος ἐξανύονται, ἤδη καὶ πρὸς συμβάσεις ἀπεῖδεν ὑγρότητος ἡ ξηρότης θερμότητος ἐπικηρυκευσαμένης, καὶ τὸ θερμὸν αὖθις τῷ ψυχρῷ προσενείρει τὸ φίλιον ξηρότητος κατεργασαμένης τὸν σύνδεσμον. ἦ γὰρ οὐχὶ ξηρὰ μὲν ἡ γῆ καὶ ψυχρά, ψυχρὸν δὲ τὸ ὕδωρ καὶ ὑγρόν, ὑγρὸς δὲ ἀὴρ καὶ θερμός, θερμὸν δὲ τὸ πῦρ καὶ ξηρόν; ἀλλὰ ταῖς ἐναντίαις ταύταις ποιότησι καὶ μαχομέναις πῇ μὲν τὸ εἰρηναῖον διοικεῖται καὶ ἀστασίαστον ἡ ἐν γειτόνων τεταγμένη ποιότης, τῷ καταλλήλῳ προσαγομένη τὰ τέως διάφορα καὶ πρὸς ἐνώπιον σχέσιν τῆς τοῦ παντὸς διακοσμήσεως συμβιβάζουσα, τῇ δὲ τοῖς ἀσυμβάτοις τὴν ἔχθραν κρατύ-

1 πρὸς ἄλλ. om. Mosq. | πάλιν om. Mosq. ‖ 2 νόμῳ Mosq.; νόμοις Δ ‖ 3 ταῦτα om. Mosq. ‖ 3. 4 ὑποστὰν Mosq. ‖ 4—7 συνδιέφθειρεν ἄλληλα τοῖς κατακρατουμένοις ἀεὶ μέρεσιν, ὁποτέρου τούτων θατέρου ὑπεξισταμένοις καὶ ταύτη τὸ ἀλληλόφθορον ἀπεργαζομένοις οὐδ' Mosq. ‖ 9—11 ἠπίως συνάπτοντος ταῦτα καὶ διακρίνοντος πρὸς τὴν οἰκείαν αὖθις ἐπανάγοντος φύσιν Mosq. ‖ 9 ἐνδιδούσης Brinkmann | fort. αὐτοῖς ‖ 11 τε καὶ Mosq. ‖ 12 ἅμα pro ἄγαν Mosq. | (προμ. τῷ om.) διαστέλλοντος Mosq. ‖ 12 σπένδεται — p. 74, 2 σωτήριον om. Mosq. ‖ 13 ψυχρότῃ Δ; lacuna sic fere explenda: ψυχρότητος ⟨μεσιτευούσης, συμβάσεις δὲ ψυχρότητος⟩ ‖ 16 τὸ ψυχρὸν Δ; cr. Brinkmann ‖ 19 fort. δ' ὁ ἀὴρ ‖ 20 τῇ Brinkmann ‖ 21. 22 ἐγγειτόνων τεταμένη Δ

νασα ἐν ὅροις μένειν οἰκείοις ἐθέσπισε τῷ ἀπροσμίκτῳ τῶν πέλας οἰκονομοῦσα τὸ τούτοις σωτήριον. καὶ ὅτι μὲν οὐχὶ τὸ αὐτόματον τὴν σοφὴν ταύτην ἀνάγκην ὑπέστησε, δῆλον ἐντεῦθεν καὶ ὅτῳ μικρὸν συνέσεως μέτεστι. λείπεται δὴ τοῦ μὲν αὐτομάτου τῆς τοιαύτης παρεωσμένου ἀνάγκης ἑτέραν τινὰ ταύτης αἰτίαν πρεσβυτέραν ἐπιζητεῖν εἱρμῷ τινι καὶ λόγῳ σοφίας τὸ πᾶν καταναγκάζουσαν φέρεσθαι καὶ δύναμιν ἀκάματον τῇ προαγωγῇ τῶν ὄντων ἐντιθεῖσαν. εὕρηται δὲ τοῖς πάλαι σοφοῖς ὀργανική τις τῷ ὄντι ὑπὸ σοφῷ τattομένη τεχνίτῃ, ἣν φύσιν ἤρεσε κατονομάζειν ἅτε τῶν φυομένων ἤτοι προαγομένων ὀργανικὴν αἰτίαν καὶ τελεσιουργὸν οὖσαν τῷ προσεχεῖ τῆς ποιήσεως. οὔκουν ἐξ αὐτομάτου τὰ τῆς ἀνάγκης· οὐδὲ γὰρ ἂν οὕτως εὐτάκτως προῄει τὰ παραγόμενα οὐδ' εἰς ἀεὶ ὡσαύτως ἔχοντα, ἀλλ' ἀνεπέφυρτο πάντα καὶ συνεκέχυτο καὶ τοῦτο ἐκεῖνο τὸ Δημοκρίτου ‘ὁμοῦ πάντα χρήματα’, καθότι καὶ τὸ αὐτόματον ἄστατον ἐν πρακτέοις αἰτίαν οἱ περὶ ταῦτα δεινοὶ ἀφορίζονται. εἰ δ' οὐκ ἐξ αὐτομάτου τὸ τάξει προϊὸν ἀμηχάνῳ (πῶς γάρ;), οὐδ' ἂν αὐτόματος ὁ κόσμος. ἀπολυόμενος δὲ τῆς αὐτομάτου ἀλόγου αἰτίας οὐδὲν ἄλλο τὴν ἀνάγκην ἡμᾶς δίδωσιν ἐπιγινώσκειν ἢ τὴν φύσιν

2 οἰκονομοῦσαν Δ | ἀλλ' pro καὶ Mosq. ‖ 4 μικρὰ Δ | 5 τὸ μὲν αὐτόματον τούτου τῆς τοιαύτης παρεωραμένους Mosq. ‖ 6 πρεσβ. om. Mosq. ‖ 7 σοφίας om. Mosq. ‖ 8 τῇ προσαγωγῇ Mosq.; τὴν προαγωγὴν Δ ‖ 9 εὕρηται — 10 τεχνίτῃ om. Mosq. | 10 fort. ὄντι ⟨αἰτίᾳ⟩ | ἣν δὴ καὶ φύσιν οἱ τῶν ἀνθρώπων σοφοὶ καλεῖν ἐδικαίωσαν (om. ἅτε — 12 ποιήσεως) Mosq. ‖ 13 ἂν om. Mosq. ‖ 14 πραττόμενα Mosq. | οὐδὲ Mosq. (om. εἰς); οὐκ Δ | 15 ἔχοντον ἄλλανον ἐπέφυρτο μὲν ἅπαντα καὶ συγκέχυτο, καὶ ἦν ὁ μὲν τὸ τοῦ δημοκρίτου πάντα χρ. Mosq. | συνεκέχυντο Δ ‖ 17 πρακτοῖς αἰτίᾳ Δ ‖ 18 22 ἀλλ' ὅτι μὲν οὐκ ἐξ αὐτομάτου, δῆλον ἐντεῦθεν· τάξει γὰρ ἀμηχάνῳ κατανοῆσαι ἔνεστι τὰ γινόμενα προϊόντα καὶ λόγῳ καταλλήλῳ ἥπερ ἔφθημεν προβαίνοντα εἰρηκότες, τῆς τε αὐτομάτου αἰτίας τὸ ἄλογον ἀναλύεται καὶ τὴν ἀνάγκην, οὐδὲ ἄλλο ἐπιγινώσκειν ἡμᾶς δίδωσιν, ἢ Mosq. 19 ἀμηχάνῳ Mosq.; ἀμηχάνως Δ | αὐτομάτως Δ; cr. Brinkmann

τῶν ὄντων ὑπὸ σοφῷ τῷ καταναγκάζοντι ὡς ὄργανον τατ-
τομένην· ὃν δὴ Θεὸν καὶ δημιουργὸν ὁ εὐσεβὴς ἀνευρη-
κὼς λογισμὸς ἔφορον καὶ τεχνίτην τοῦ παντὸς προευτρέ-
πισεν. ~ Δ Mosq. 315

ὑπομόχθηρον]* *ἀνόητον.* ~ ΓVO

κηλεῖν]* *θέλγειν.* ~ ΓV 39

ἡ Θυγάτηρ καὶ ὁ ἀδελφὸς καὶ ἡ γυνή]* *ἡ Ἀθηνᾶ* 40
καὶ ὁ Ποσειδῶν καὶ ἡ Ἥρα. ~ ΓV

ἐξαπατᾷ κτλ.] *πάντα ταῦτα Ὅμηρος περὶ τοῦ Διὸς εἶπε.*
καλῶς δὲ πάνυ τὸν Ὅμηρον αὐτὸν κατὰ τῶν Ἑλλήνων
ἤνεγκε μάρτυρα. ~ ΓVOΩ

οἱ Θεοὶ ἐμονομάχουν κτλ.] *ἐξεπίτηδες κατάπτυστα ταῦτα*
προσεπιβύεται τῇ διαλέξει, τὸν λόγον δολῶν καὶ ἵνα δοκῇ
τι λέγειν ταῦτα ληρῶν. ~ Δ

σῶκος]* *οὕτως ἐκαλεῖτο ὁ Ἑρμῆς οἱονεὶ σωσίοικος.* ~ ΓVOΩΔ
ἐριούνιος] *ὠφελιμώτατος.* ~ Δ
παρεκδύς]* *παρεξελθών.* ~ ΓV 41

Πῶλον κτλ.]* *οὗτοι ὑποκριταὶ ἦσαν ὑποκρινόμενοι τὰ τῶν*
τραγῳδιῶν δράματα. ~ ΓVΔ

ἐμβάτας]* *τὰ ξύλα, ἃ ἐμβάλλουσιν ὑπὸ τοὺς πόδας οἱ*
τραγῳδοί, ἵνα φανῶσι μακρότεροι. ~ ΓVOΩΔ. Addit Δ:
οἱ λεγόμενοι Σπάνοι. ~

ποδήρεις]* *τὰ μέχρι τῶν ποδῶν ἑλκόμενα ἱμάτια.* ~ ΓVΔ.
Addit Δ: *οὕτω γὰρ καὶ οἱ Σπάνοι παίζουσιν. ταῦτα δ' εἰσὶν*
ὀνόματα τῆς σκηνικῆς σκευῆς, ᾗ ἐχρῶντο οἱ ὑποκριταί. ~
Εὐριπίδης κτλ.]* *ἀλλ' οὐδὲ τοῦτο ὡς ἐκ προσώπου Εὐρι-*
πίδου, μάταιε, ἀλλ' ἐξ ἑτέρας ἀθεότητος εἰσηγουμένης. ποῦ

---

1 *ὡς ὄργανον* om. Mosq. ‖ 2 *ἀνευρηκὼς* om. Mosq. ‖ 3 *ἔφορον* — *παντὸς* om. Mosq. | *προευτρέπισεν* Δ; in Mosq. certo cognoscitur *προε·ήσατο*, I litt incerta (*γ* sive *ν* sive *κτ*) ‖ 19 *τραγῳδῶν* Solanus; puto scholiastam potius *τραγῳδιοποιῶν* scripturum fuisse, nisi forte *πρόσωπα* pro *δράματα* restituendum ‖ 20 cf. sch. Menipp. 16 | *βάλλουσιν* V ‖ 20—23 coni. V ‖ 22. 24 *Σπάνοι*: cf. Anon. Neob., Comm. in Arist. XXI 2 p. 212, 26 ‖ 28 fort. *ἐξ ἑτέρου ἀθεότητα εἰσηγουμένου· ποῦ* ⟨*γὰρ*⟩

τὸ τοῦ ποιητοῦ πρόσωπον ἢ δραματουργία πώποτε ἐνεφάνισεν; ~ Δ

42 ἄλλοι ἄλλα νομίζουσι, Σκύθαι μὲν Ἀκινάκῃ θύοντες κτλ.] Ἀρέθα. ἀλλ' οὐκ ἀπὸ τῆς πλάνου περὶ τὸ θεῖον ὑπολήψεως, ὦ τάν, τῶν γνώμην παρακεκινημένων ἀνθρώπων ἤδη καὶ πρόφασιν ἂν θείημεν τοῦτο ἀνυπαρξίας, ὅτι μηδ' ἀπὸ τῶν ἀποτευγμάτων φύσεως ἡ τέχνη μωμεῖται καὶ πρὸς ἀναίρεσιν τοῦ εἶναι ἐπηρεαστικῶς ἀποσκυβαλίζεται· οὐδὲ γὰρ γένεσις ζῴων ἀπὸ τῶν ἀμβλωμάτων καὶ τῶν τεράτων, οὐκ ὀφθαλμῶν ὄψις ἀπὸ τῶν καμόντων τε καὶ λημώντων καὶ τῶν ἀμβλυωττόντων, οὐμενοῦν· οὐ δεσπότης οἰκίας, εἴ τις τὸν θυρωρὸν ἢ τὸν τοῖς παίσμασι διακονούμενον τῆς στροφῆς κατάρχειν αὐτῆς ἀλλ' οὐ τὸν οἰκοδεσπότην οἴοιτο τῷ ὄντι ἐμβροντησίᾳ καταληπτός. οὐ πολλῷ πλέον ἡ γραφική, εἴ τις ἐμπλήκτως ἀπὸ καλαμίδος καὶ τῶν ὁμοίων αὐτῇ μέμφοιτο, οὗ μηδὲ τὰ γραφικὰ φάρμακα κεράσασθαι ἀξιόπιστοι καὶ ἱκνούμενοι τῇ τέχνῃ, οὐχ ὅτι καὶ εἶδος τὸ προτεθὲν ἐμμορφώσασθαι καὶ καταλλήλως τῇ φύσει τὴν μίμησιν συμπεράνασθαι. οὐκοῦν οὐδὲ τὸ θεῖον ἀναιρήσεις ἐκ τούτων ἐπισφαλῶς ἢ τῆς καθ' ἡμᾶς αὐτὸ προνοίας ἀποσχολάσεις ἀπὸ τῶν ὡσπερεὶ μεθύοντα τὸ περὶ αὐτὸ σέβας κιβδηλευσάντων κνωδάλων θεοποιήσει τε καὶ ἀνιερώσει καὶ προσέτι ἀνθρώπων ἀκολάστων καὶ παλαιῶν. ~ Δ

Ἀκινάκῃ*] φρυγάνων φακέλους οἱ Σκύθαι συννήσαντες καὶ ὑπ' αὐτῶν τῷ ὄγκῳ ἀκινάκην ἱδρύσαντες σιδήρεον θυσίας ἐπετείους προσάγουσι προβάτων καὶ ἵππων νομίζοντες αὐτὸν εἶναι τοῦ Ἄρεως τὸ ἄγαλμα. ~ ΓCVΩΔ

43 ἀμφηχής*] ἐκ τῶν δύο μερῶν ἠχῶν, τουτέστι βοῶν·

---

7 dubium, utrum φύσιν an φύσεως Δ ‖ 9 γένεσιν Δ 15 ἀποκαλα, spatium III litt. ,δος Δ ‖ 16 dubium, utrum αὐτῶ an αὐτῇ Δ | οἱ Δ ‖ 21 fort. μεθυόντων ‖ 25 οἱ φρύγες C ‖ 26 ὑπὸ τῶν αὐτῶν V | τῷ om. V | τὸν ὄγκον Δ ‖ 28 αὐτὸ Δ ‖ 29 cf. sch. p. 64, 6 | Δ (in textu ἀμφήρης): ἀμφήρης εὗρον, ἵν ἡ — ποιῶν ἐκ τῶν — ἦχον — καταλύσει. τοῦτο δὲ καὶ διπρόσωπον

οὐδεὶς γὰρ ᾔδει, περὶ τίνος ἔλεγεν, ὅτι τὸν Ἅλυν διαβὰς τὴν ἀρχὴν καταλύσει. διὰ τοῦτο δὲ καὶ διπρόσωπος. ~ ΓVΩΔ. Addunt VΩΔ: γράφεται δὲ ἀμφήρης, ἵν' ᾖ ἀφ' ἑκατέρου ἔριδα ποιῶν. ~

οἷοί εἰσι καὶ τῶν Ἑρμῶν ἔνιοι: οἱ Ἑρμαῖ τετράγωνοί τινες κίονες ἦσαν παρὰ τὰς ὁδοὺς ἱδρυμένοι ἄνω πρὸς τὸ ἄκρον εἰς κεφαλὴν ἔχοντες ἀνθρώπου μεμιμημένον τὸν λίθον. ἐνίοτε μὲν οὖν ἓν πρόσωπον εἶχεν ἡ κεφαλὴ ὡς πάντων ἀνθρώπων, ἔστι δ' ὅτε καὶ δύο ἀφ' ἑκατέρου μέρους. ἠνίττετο δὲ αὐτοῖς ὁ Ἑρμῆς οὗτος τετράγωνος ὢν καὶ παρὰ τὰς ὁδούς. Ἑρμῆν τὸν λόγον βούλονται εἶναι. ἐσήμαινον οὖν τὸν βίον, ὃν διὰ τῆς ὁδοῦ παρεδήλουν, σὺν λόγῳ καὶ μετὰ λόγου πορεύεσθαι καὶ τοῦτον ἀληθῆ καὶ ἑδραῖον τὸ τετράγωνον ἀπεσάφει τοῦ σχήματος. διπρόσωπος δὲ ἐποιεῖτο εἰς ἔμφασιν τοῦ χρῆναι τοῖς φίλοις ἤτοι τοῖς τὴν αὐτὴν ἡμῖν ὁδὸν τοῦ βίου ἰοῦσι καὶ παροῦσι καὶ ἀποῦσιν ὁμοίως κατὰ διάθεσιν μένειν. ~ VΔ

—] ὡραῖον. ~ Γ

Σαρδιανός*] ὁ ἀπὸ Σάρδεων· ἐν Σάρδεσι γὰρ ἦν τὰ τοῦ Κροίσου βασίλεια. ~ ΓVΩΔ

ἀμφιδέξιον*] ἀμφιδέξιος λέγεται ὁ ταῖς δύο χερσὶν ὡς δεξιαῖς χρώμενος. ἀμφιδέξιον οὖν ἐνταῦθα τὸ ἐκ τῶν δύο μερῶν νοούμενον. ~ ΓVΩΔ

ἕδη τὰ ἀγάλματα λέγει, παρὰ τὸ ἡδράσθαι. ~ VΩΔ 44

Ἀρτέμιδος*] ἐν γὰρ τῇ Σκυθίᾳ τοὺς κρατουμένους ξένους ἔθυον τῇ Ἀρτέμιδι. ~ ΓCVΩ

ἀνὴρ φείδεται κτλ.] ὡραῖον. ~ Γ

ἐξ ἁμάξης*] ἐν τῇ ἑορτῇ τῶν Διονυσίων παρὰ τοῖς Ἀθηναίοις ἐπὶ ἁμαξῶν καθήμενοι ἔσκωπτον ἀλλήλους καὶ ἐλοι-

---

6 ἄνω εἰς τὸ V ‖ 7 εἰς τὴν κεφαλήν· εἶχον δὲ ἀν. Δ ‖ 10 αὐτὸς Δ | ἑρμᾶς V ‖ 12 παρεδήλου συνὸν λόγον Δ ‖ 13 τοῦτ' ἀληθῶς ὡς ἑδ. Solanus ‖ 16 τοῦ βίου ὁδὸν Δ ‖ 17 fort. ὁμοίους ‖ 28 cf. sch. Eunuch. 2

δοροῦντο πολλά. παροιμία οὖν ἐκράτησεν ἐπὶ τοῦ ὑβριστικῶς κεχρημένου 'τὰ ἐξ ἀμάξης'. ~ ΓVΩ

—] ἐν τοῖς Διονυσίοις ἔθος εἶχον σκώπτειν ἀλλήλους συνιόντας καὶ τούτων ἀπάρχεσθαι τῷ παρακαλέσαντι δαίμονι μέθης ἐφόρῳ καὶ τοιούτοις ἀεὶ χαίροντι. καὶ ἵνα τοῦτο περιφανέστερον δρᾷτο, ἐφ' ἁμαξῶν ἀνέβαινον καὶ οὕτως ἔσκωπτον, ὡς ἐξ ὑπερδεξίου μᾶλλον εὐηκοώτεροι ὦσι. τοῦτο καὶ νῦν φησιν· ἐπεκράτησε γὰρ ἐξ ἐκείνων εἰς παροιμίαν χωρεῖν ἐπὶ τῶν ἀδεῶς ταῖς ὕβρεσι χρωμένων καὶ οὕτω λέγειν 'τὰ ἐξ ἁμάξης παρησιάζειν'. ~ Δ

45 τάφον*] τάφος ἦν ἐν τῇ Κρήτῃ καὶ ἐπεγέγραπτο ἐν αὐτῷ 'τοῦ Διὸς τάφος' καὶ πρὸς αὐτὸν νῦν ἀποτείνεται. ~ ΓVΩΔ

46 ἀκάτια οἱ μὲν τοὺς μεγάλους καὶ μέσους καλοῦσιν ἱστούς, ὡς καὶ Πολυδεύκει τῷ ὀνοματολόγῳ [1, 91] δοκεῖ· εἰσὶ δ' οἳ καὶ τὰ παρ' ἡμῖν λεγόμενα κάρυα ἀκάτια φασιν, οἷς ἡ κεραία ἀνέλκεται. ~ VCΩΔ

47 ἀλλ' ὦ Θεοφιλέστατε Τιμόκλεις, τὸν μὲν κυβερνήτην ἐκεῖνον εἶδες ἂν ἀεὶ τὰ ξυμφέροντα ἐπινοοῦντα καὶ πρὸ τοῦ καιροῦ παρασκευαζόμενον καὶ προστάττοντα τοῖς ναύταις, ἀλυσιτελὲς δὲ οὐδὲ ἄλογον οὐδὲν εἶχέ τι ἡ ναῦς, ὃ μὴ χρήσιμον πάντως καὶ ἀναγκαῖον ἦν πρὸς τὴν ναυτιλίαν αὐτοῖς· ὁ δὲ σὸς οὗτος κυβερνήτης, ὃν τῇ μεγάλῃ ταύτῃ νηὶ ἐφεστάναι ἀξιοῖς, καὶ οἱ ξυνναῦται αὐτοῦ οὐδὲ εὐλόγως οὐδὲ κατὰ τὴν ἀξίαν διατάττουσι κτλ.]

Τοῦ αὐτοῦ πρὸς τὸ ὑπὸ τοῦ δυσσεβοῦς Λουκιανοῦ λήρημα ὡς φθονερὸν ὅτι τὸ θεῖον.

Καὶ τί τῶν ἀσυμφόρων, κατάρατε, ὁ καλὸς οὗτος διετάξατό

---

1. 2 τῶν — κεχρημένων τὸ V, cf. sch. Eunuch. 2 ‖ 4 fort. συνιόντες ‖ 14 ὡς — δοκεῖ om. C ‖ 15 κάρυα Δ; κάροια V; καράβια C (cf. Etym. s. v. ἄκατος: κάραβον) | φασιν om. C ‖ 16 ἐνέλκεται V ‖ 27 τοῦ αὐτοῦ: in cod. Mosq. Arethae nomen fol. 110 legitur (*Ἀρέθα ἐπίσκεψις κτλ.*) ‖ 28 ὅτι Mosq.; fort. ἐστι ‖ 29 καί τι vel καί τί Mosq.

κυβερνήτης, εἰ, ὅ σοι φεύγει τὴν αἴσθησιν, οὐδ' εἶναι τὴν ἀρχὴν ὁμολογεῖται; ἀλλ' εἰ τοῦτο, οὐδὲν μὲν πλέον ἕξει τοῦ ἀποτελέσματος ὁ τεχνίτης, κενὸν δέ σοι καὶ τὸ σῶμα ψυχῆς, ὅτι μὴ κατὰ ταὐτὰ τοῖς οἰκείοις ἀεὶ μέλεσιν ἐνεργεῖ ἀλλὰ τῇ χρείᾳ συμπεριάγει καταλλήλως τὰ ὄργανα· οὔτε γὰρ ὀφθαλμῷ συμφέρον ἀτενὲς διαπαντὸς ἐνορᾶν οὔτε χειρὶ τὴν αὐτὴν χώραν καταλαμβάνειν ἢ τοῖς δακτύλοις τὸ συνεσπάσθαι μόνον καὶ ἐξηπλῶσθαι. εἰ δὲ καὶ στρατοπέδῳ ποτὲ περιέτυχες, ἆρά γε, καίτοι πάντες ἄνθρωποι, πάντας αὐτοὺς εἶδες ἐπὶ τῆς πρώτης τάξεως ἐφεστῶτας ἢ τοῖς αὐτοῖς τεύχεσιν ἐπαρηρότας, ἀλλ' οὐχὶ τὸν μὲν ἐπὶ τῆς φάλαγγος τὸ γενναῖον ἐπιδεικνύντα, τὸν δὲ κατὰ βάθους γνωριζόμενον, τὸν δὲ τὸ δεξιὸν κέρας ἔχοντα, τὸν δὲ τὸν οὐραγόν, ἢ ὡς ἂν οὖν ἡ τάξις ἀεὶ τοῦ καιροῦ δίδωσι καὶ ἐφιστάμενον καὶ ἐφορμῶντα τοῖς ἀντιπάλοις; ἀλλ' οὐ τὸν μὲν σφενδόνῃ, τὸν δὲ παλτῷ, εἰ τύχοι, ἄλλον (οὐ σύ γε πάντως ἐρεῖς) κοντῷ, μακρῷ ἕτερον εἰς τὸ νικᾶν προθυμούμενον, καὶ τῷ μὲν γυμνῷ θώρακος ἀριστεύειν ὑπόν, τὸν δὲ κατάφρακτον τοῖς ἐχθροῖς συμπλεκόμενον; ἆρ' οὖν ἔσθ' ὅστις λογισμοῦ κύριος διαστασιάζοντας ἀλλήλοις εἴποι γε τούτους ὁρῶν ἢ τῷ διαφόρῳ τῆς ἐνεργείας τὸ ἄτακτον τούτοις ἢ τὸ ἀπρομηθὲς ἐπικαλεῖν ἔχοι τῷ στρατηγῷ ὡς οὐχὶ πάντας τῆς αὐτῆς ἀξιώσαντι τάξεως; ἐγὼ μὲν οὐκ οἶμαι, εἰ μὴ καὶ προσεπαινέσεται τοῦτον, τῇ ποικιλίᾳ τῆς τάξεως καὶ τῷ δοκοῦντι ἀτάκτῳ τε καὶ ἀλυ-

---

1 *εἰ* scripsi; *ἢ* Mosq. | *φεύγει* Diels; *φ* certa videtur, tum II fere litterae correctae leguntur ex III vel IV fere litteris, tum *γει* ‖ 4 *κατ' αὐτὰ* Mosq. ‖ 9 *ἄνοι* suspect. ‖ 11 *αὐτοῖς* scripsi; *αὐτῶν* Mosq. | *ἐπαρηρότας* "instructos" Diels; *ἐπανηφότας* Mosq. ‖ 14 *τὸν* del. Brinkmann, H. Schöne | *οὖν* superscriptum esse vidit Diels; idem *ἀεὶ*, pro quo male legeram *ἀπὸ* ‖ 16 *σφενδόνην* Mosq. | "den einen mit einem kurzen (du Attikist wirst das Wort zwar verschmähen), den andern mit einem langen *παλτός*" Brinkmann ‖ 17 *μᾶλλον* ante *πάντως* del. Mosq. ‖ 18 *γυμνοθώρακος* Mosq. ‖ 24 *ἐγὼ* — 25 *τάξεως* in mg. suppl.

σιτελεῖ τὸ ἐν πολέμοις ἄμαχον κατορθοῦντος. σὺ δὲ τοσοῦτον ἐλλεβόρου προσδέῃ καὶ οὕτω κορύζης περίπλεως εἶ καὶ προσδεόμενος τίτθης, ἥ σε ἀπομύξει, καλῶς ἐκείνη γε νήπια ποιοῦσα, ὥστε τὴν ἀνθρωπίνην ζωὴν καὶ τὸ ταύτης εὔδαιμον ἐν τῇ τοῦ λαιμοῦ τίθεσθαι ἀπολαύσει καὶ τῶν κατὰ σῶμα ἡδέων· χοιρώδης ὡς ἔοικεν ἄνθρωπος εἶ γαστρὶ τὸ ἀγαθὸν περιορίζων καὶ πλέον οὐδὲν οἰόμενος τῶν παρόντων ἀλλὰ συγκαταλύειν τῷ βίῳ καὶ τὴν ψυχήν. τοιούτῳ δ' ἀνδρὶ οὐδεὶς φθόνος καὶ τούτων ἀλογιστότερα τερατεύεσθαι. καίτοι γε — εἰρήσεται γὰρ οὐχ ἕνεκά γε σοῦ ἀλλὰ τῶν ἐντυγχανόντων — οὐδὲ ταῦτα ἃ διακομίζεις γενναῖά σου καὶ σοφὰ ὑποδείγματα τοσοῦτόν σοι τὸ βούλημα κατανύσσει, ὅσον προΐσταται, καὶ εἰς τὸ ἐναντίον περιτρέπει τὰ πράγματα. εἰ γάρ σοι ἡ κατὰ τὸν παρόντα βίον εὔροια τῶν πραγμάτων τῆς ἀνθρωπίνης ἀρετῆς ἀντάλλαγμα ὑπισχνεῖται καὶ τοῦτο μόνον τὴν πρόνοιαν ἐμπεδοῖ καὶ διὰ τοῦτό σοι Καλλίας μὲν καὶ Σαρδανάπαλος καὶ εἴ τις ἄλλος κατ' ἐκείνους ἁβρὸς καὶ ἀκόλαστος καὶ ὑπὸ τρυφῆς διαρρέων παρὰ πάντα τὸν βίον τῆς τοῦ παντὸς ἐποπτείας τὸν σοφὸν ἀπελαύνουσι κυβερνήτην, λέγεις μέν τι, οὐ μέντοι γε καὶ ὅσον σοφὸς ἂν οἰηθείη ἀνήρ. οὔτε γὰρ τὸ κατὰ ῥοῦν τι συμφέρεσθαι τὴν τύχην ἀνθρώπου ἀρετῆς ἀμοιβή (ἦ γὰρ ἂν οὐδεὶς τὸ παράπαν ἀρετῇ προεῖχε Σαρδαναπάλου) οὔτε τὸ πένεσθαι πονηρᾶς καὶ ἀνοσίου τεκμήριον βιοτῆς· τί γὰρ ἂν Σωκράτους ὀλεθριώτερον ἢ μοχθηρότερον ἐπ' αὐτὸ τὸ τῆς ἀπορίας βάραθρον κατεσπασμένου; ἀλλὰ τὰ μὲν ἀδιάφορα, καὶ εἴ τι σοὶ ταῦτα σφάλλει τὴν πρόνοιαν, ἐπανορθούτω πάλιν μυρίων μὲν πονηρῶν κολαζομένη κακοπραγία, οἵ γε δὴ μέχρι τυμπάνων καὶ βρόχων προάγονται καὶ σταυρῶν ἀκουσίων καὶ

13 κατανύσει Mosq.; cr. Brinkmann | fort. προΐστασαι || 17 μὲν γὰρ σαρδ. Mosq. | ἄλλος lineola deletum videtur || 21. 22 κατὰῥοῦν, alt. ρ lineola del., Mosq. || 22 τί Mosq.; fort. τινι; del. Brinkmann || 23. 24 σαρδανάπαλος Mosq.

εἴ τι ἄλλο κολαστήριον ὑπολείπεται ὄργανον, ἀμυθήτων δὲ ἀνδρῶν ἀγαθῶν εὐποτμία, οἷς γε οὐ μόνον τὸ παρὰ πάντων τῶν ἄλλων κατὰ τὰ παρόντα σεβάσμιον ἀπέχρησε (τοσοῦτον αὐτῶν τὸ παρὰ πᾶσι ζηλωτὸν καὶ μακάριον), ἀλλά γε δὴ καὶ δικασταὶ τοῖς ἐν Ἅιδου ἀνθρώποις κατέστησαν, καὶ ταῦτα οὐδὲ ἠπειρώτιδός τινος γῆς οὐδὲ περιφανοῦς ἐκ δὲ νήσων Αἰγίνης οἶμαι καὶ Κρήτης ὁρμώμενοι. οὔκουν τὸ βίου σπανίζειν κακὸν οὐδὲ τὸ πᾶσιν ἐνευθηνεῖσθαι μακάριον οὐδ' ἀμοιβαὶ ταῦτα τῶν βεβιωμένων οὐδ' ἐκ παντὸς μεταδιωκτέα τοῖς σωφρονοῦσιν, οἵ γε καὶ διαβέβληνται πρὸς τὸ σῶμα σθένει παντὶ καὶ τὰς τούτου περιίστανται ἡδονὰς ὡς ἐμπόδιον σπουδαίῳ καὶ φιλοσόφῳ καὶ πόρρω πέμπειν ἀρετῆς ἐπισταμένας· οἳ δὴ ταῦτα φευκτέα ἡγούμενοι πολύν σου τὸν λῆρον κατασκεδάσουσιν, εἴ γε αὐτὴν ἀξιοῖς ἅθλον ἀρίστου βίου τὴν ἀκόλαστον προτιθέναι ζωήν. τί γὰρ ἐμποδὼν ἐθελήσασι μόνον τὰ τῆς τύχης Ἀριστείδῃ μὲν καὶ Φωκίωνι δωροδοκοῦσι, Σωκράτει δὲ καταδεχομένῳ τὸ ἐκ Περσῶν ἢ Ἀρχελάου βασιλέως χρυσίον; ἀλλ' οὐκ ἐποίησαν ταῦτα οὐδ' ἐγγὺς τούτων· εὖ γὰρ ἤδεσαν τὴν ἀνειμένην ζωήν, οὐ μόνον οὐκ ἀρετῆς ἅθλον ἀλλὰ καὶ ἐμπόδιον τῆς ὡς ἀληθῶς ἀνθρώπου ζωῆς, παράγουσαν τὸν ἡγεμόνα νοῦν τῆς ἑαυτοῦ ἀσχολίας καὶ πρὸς τὴν ἄλογον περισπᾶσθαι βιοτὴν κατεπείγουσαν, ποτῶν καὶ σιτίων καὶ τῶν ἄλλων ἡδυπαθειῶν τὸν ἑσμὸν ὑποτιθεμένην. εἰ τοίνυν ὡς ἀνθρώποις σωφρονοῦσι ταῦτα βδελυκτά τε καὶ ἀποτρόπαια, πόσῳ, εἰ μὴ καὶ πλεῖστον ὅσον, θεὸν τούτων ὑπερανεστηκότα οὐκ ἐμπληξίας μὴ ταῦτα παρέχειν βροτοῖς τῆς τῶν γηίνων περιορίζειν προνοίας; φθονεροῦ γοῦν ἀλλ' οὐκ ἀγαθοῦ δήπουθεν δεῖγμα, ἐν οἷς

---

10 "cf. Plat. Phaedon. 67 E (*εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν κτλ.*)" H. Schöne ‖ 16 *ἐκποδὼν* Mosq. ‖ 27 fort. *οὐκ ἐμπληξίας ⟨τεκμήριον διὰ τὸ⟩ μὴ* ‖ 29 *δείγμα*, [*ἐν* lineola del.] *οἷς ἀπρακτην πεφυκοτὰ καλὰ ταῦτά* Mosq.

ἀπρακτεῖν πέφυκε τὰ καλά, ταῦτά γε τοῖς ἀρετὴν μετιοῦσιν ἐπιδαψιλεύεσθαι. ὁρᾷς, οὗ σοι τὰ σοφά, Λουκιανέ, περιτρέπεται ὑποδείγματα· ἃ γὰρ σχολήν σοι δοκεῖ θεοῦ προνοίας περιποιεῖν, ὅτι μὴ τοῖς ἀγαθοῖς βραβεύεται τῶν ἀνθρώπων, ταῦτά σοι φθονερὸν τὸν παρέξοντα ἀποφαίνει. ἀλλ' οὔτε φθόνου τὸ θεῖον (ἄπαγε) οὔτε τινὸς ἄλλου πάθους ἡ μόνη μακαρία τε φύσις καὶ ἀνώλεθρος ἐντὸς καταστάσα· οἷς δὲ τὸ εὐδόκιμον κατὰ ἕκαστον ἡμῶν ἀπενέγκασθαι προορᾷ, τούτοις αὐτὸν καὶ μεθίεται συγκροτεῖν. καὶ διερρύηκέ σοι, μᾶλλον δὲ περιτέτρανται, τὸ γενναῖον ὑπόδειγμα, ὑφ' οὗ τὴν πρόνοιαν ἐπῆλθεν ἀναιρεῖν, προνοίας τὰ πάντα ἀποδεδειγμένα μεστά. εἰ δέ τινες παρ' ἑκάτερον, τὸ πλουτεῖν φημι καὶ τὸ πένεσθαι, κακῶς ἑάλωσαν ἀρετῇ κεχρημένοι, ἐννόησον, ὁπόσον ἂν οὗτοι κάκιον διεγένοντο πρὸς τὸ τοῦ βίου ἀντίθετον μετατεταγμένοι. ταῦτά σοι πρὸς τοὺς παρόντας λήρους, ὡς ἂν μήτ' αὐτὸς κατεπαίροιο πρὸς ἄμαχόν τινα λόγων ἰσχὺν διεξάγων τοὺς λόγους μήθ' οὓς βούλει ἐντὸς τῶν σεαυτοῦ καταστήσας ἀρκύων τύχῃς τοῦ σκοποῦ. ~ Mosq. 315

πρότονος*] τὸ σχοινίον, εἰς ὃ δεσμοῦσι τὸν ἱστόν. ~ ΓVΩΔ

χηνίσκος*] τὸ τῆς πρῴρας μέρος, οὗ ἀπήρτηνται αἱ ἄγκυραι, ὃ καὶ τῆς τρόπιδός ἐστιν ἀρχή. ~ ΓVΩΔ. Addit Δ: εἰσὶ δ' οἳ μᾶλλον τὸ τῆς πρύμνης ἔφασαν ἄκρον, πρὸς ὃ ἐπιζεύγνυνται αἱ ἐπωτίδες τῆς νεώς. πλήν, ὁποτέρως ἔχοι, — quae sequuntur, etiam in V leguntur — χηνίσκος ἐλέγετο, ὅτι χηνὸς κεφαλὴν μορφοῦντες οἱ ναυπηγοὶ ἐπετίθεσαν τῷ ἄκρῳ, τάχα τὸ πλοῖον εἰς χῆνα ἀπεικάζοντες

---

3 σχολήν in mg. suppl. Mosq. ‖ 6 "cf. Plat. Phaedr. 247 A (φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται)" Diels, H. Schöne ‖ 9 συγκροτεῖν Mosq. ‖ 11 ἐπῆλθεν (scil. σοι) recte legit Diels ‖ 12 παρ' Mosq.; περὶ Diels ‖ 16 μὴ ταύταις, ις correct., Mosq. ‖ 17 τινα λόγον Mosq. ‖ 19 τύχῃς ἕξῃν Mosq.; τύχοις Brinkmann ‖ 22. 23 et 26 — p. 83, 2 coni. V ‖ 26 ἔχει Etym. ‖ 28 ἐτίθουν Etym.

ἢ τοῦ εὐοιωνιστοῦ χάριν, ὡς ἀβάπτιστος αὐτοῖς ἡ ναῦς διατελοίη τρόπον τινὸς ὑπερνέουσα τῶν κυμάτων. ~ διμοιρίτην*] ὁ τοῦ διμοίρου τῶν ἐν τῇ νηὶ ἄρχων. ~ ΓVΩΔ 48

τριμοιρίτην*] ὁ τοῦ τρίτου μέρους ἄρχων. ~ ΓVΩ

—] οὕτως ἐλέγοντο οἱ μὴ τὸν ἐντελῆ μισθὸν λαμβάνοντες στρατιῶται τῷ μὴ εἶναι τὴν στρατιῶτιν ἀρετὴν τέλειοι. ~ VΩΔ

κατακολυμβῆσαι* κτλ.] πάντα ταῦτα λέγει ὡς ὀνόματα τῶν ἐν τῷ πλοίῳ σκευῶν, ἃ μεταφορικῶς ἐπὶ ἀνθρώπων νοητέον, ὅτι οἱ μὲν ὀφείλοντες καλῶς πράττειν ἀτυχοῦσιν, οἱ δὲ ἄδικοι εὖ πράττουσιν. ~ VΓΩΔ

Σωκράτης καὶ Φωκίων Ἀθηναῖοι ἦσαν ἀμφότεροι ἐπ' ἀρετῇ θαυμαζόμενοι, ὁ μὲν φιλόσοφος, ὁ δὲ στρατηγός. ~ ΓVΩΔ

ὁ μὲν Καλλίας οὗτος, ὡς Κρατῖνος Ἀρχιλόχοις [fr. 11. C. A. F. I 15 K.] φησίν, Ἰκπονίκου υἱὸς ἦν τὸν δῆμον Μελιτεύς, ὡς Ἀριστοφάνης Ὥραις [fr. 572. C. A. F. I 538 K.], πλούσιος καὶ πασχητιῶν καὶ ὑπὸ πορνιδίων διαφορούμενος καὶ κόλακας τρέφων. εἰς δὲ στιγματίαν αὐτὸν Κρατῖνος [fr. 11] κωμῳδεῖ ὡς ἕνα τῶν κατάχρεων· οἱ γὰρ δανειζόμενοι τὰς κτήσεις ὑπετίθεσαν καὶ ἐπέγραφον αὐτὰς πρὸς τὸ γινώσκεσθαι, ὅτι ὑποθῆκαί εἰσιν· ὅθεν καὶ Μένανδρος [fr. 968. C. A. F. III 247 K.] ἄστικτον χωρίον εἰώθει λέγειν τὸ ἀνεπιδάνειστον. κωμῳδεῖ δὲ αὐτὸν Κρατῖνος [fr. 11] καὶ ὡς Φώκου γυναῖκα μοιχεύσαντα καὶ τρία τάλαντα δόντα εἰς τὸ μὴ κριθῆναι. — ὁ δὲ Μειδίας ὀρτυγοκόπος ἦν, ὡς Πλάτων Περιάλγει [fr. 108. C. A. F. I 630 K.],

---

3 διμοιρίτης ὁ V ‖ 3—7 coni. (τριμοιρίτης δὲ — οὕτως δὲ) V | cf. sch. Dial. mer. IX 5 ‖ 9 λέ′ V; λέγεται Δ ‖ 10 ἃ om. ΓΔ | ἐπὶ ἀν. νοητέον om. Δ ‖ 16 Ἀρχιλόχοις om. V ‖ 17 φησίν om. Δ ‖ 18 ὡς Ἀ. Ὥραις om. V ‖ 21 καταχρεῶν θρᾶττες οἱ Δ ‖ 22. 23 εἰς τὸ V ‖ 26 καὶ (prius) om. Δ ‖ 27 ἀργυροκόπος Δ ‖ 28 περὶ ἀλεγειῶν Δ

καὶ περὶ τὰ ὅμοια δεινός· καὶ ὡς πονηρὸν δὲ καὶ κόβαλον καὶ τῶν δημοσίων νοσφιστὴν Φρύνιχος [fr. 41. C. A. F. I 381 K.] καὶ Πλάτων [cf. fr. 108] διαβάλλουσιν. — ὁ δὲ Σαρδανάπαλος υἱὸς ἦν Ἀνακυνδαράξου τοῦ Μήδου καὶ βασιλεὺς Ἀσσυρίων τρυφῇ πεπραμένος καὶ γυναιξὶ τὸν πάντα βίον ἐκδαπανῶν· διὸ καὶ ἐπὶ τούτου ἡ τῶν Ἀσσυρίων κατελύθη ἀρχή. ~ VΔ. Addit Δ: ὁ δὲ Φῶκος οὗτος μοιχαλίδα εἶχε γυναῖκα, ἐφ' ᾗ καὶ ἑάλω Καλλίας. ~

49 τοίχου*] τοῖχος λέγεται οὐ μόνον ἐπὶ οἴκου ἀλλὰ καὶ ἐπὶ πλοίου. ~ ΓVΩΔ

50 κατὰ* ῥοῦν προχωρεῖ] κατὰ ῥοῦν φέρεται. ἐπὶ τῶν εὐπλοούντων ὁ λόγος, ὅτε πρὸς ῥεῦμα φερόμενοι τὸν ἴδιον πλοῦν ἀνύουσιν. ~ ΓCVΩΔ. Addunt CVΩΔ: διότι δὲ ἀπὸ τοῦ πλοῦ τὸ παράδειγμα, διὰ τοῦτο καὶ νῦν τῷ πλησίστιος ἐχρήσατο. ~

51 ἱερὰν — ἄγκυραν*] ἄγκυρά ἐστιν ἐν τῇ νηὶ ἡ μεγίστη, ἣν καλοῦσιν ἱεράν. αὕτη δέ, ὅτε μέγας καταλάβῃ κίνδυνος, τελευταία βάλλεται. εἶπεν οὖν τοῦτο ὡς μέλλων τελευταῖον εἰπεῖν ἐπιχειρημάτων τὸ πάντων μέγιστον. ~ ΓVΩΔ

52 τυμβωρύχε* κτλ.] καλῶς πάνυ εἰσήγαγε τὸν Τιμοκλέα πρὸς ὕβρεις τραπέντα· τοῦτο γὰρ ἔθος τοῖς ἡττωμένοις. ~ VΓΩΔ

53 κατατρυφῶντα*] πάνυ ἐπὶ τῆς νίκης ἐπιγελῶντα. ~ ΓVΩ

σύρφαξ: ὑποκορισμὸς τοῦ συρφετοῦ. ~ CVΔ

Ζωπύρου*] τοῦ Δαρείου πολιορκοῦντος τὴν Βαβυλῶνα καὶ μὴ δυναμένου παραλαβεῖν αὐτὴν ὁ Ζώπυρος κόψας ἑαυτοῦ τὰ ὦτα καὶ τὴν ῥῖνα καὶ μαστιγώσας ἑαυτὸν προσ-

---

1 καὶ — δεινός om. V | ὅμοια suspect. ‖ 2 Φρύνιχος — 3 διαβάλλουσιν om. V ‖ 11 κατὰ ῥοῦν φέρ. ΓCV; om. Δ (lemma πλησίστιος) ‖ 12 εὐπλ. τάττεται ὅτε C ‖ 14 διὰ — 15 ἐχρήσατο VΩΔ (πλησίστιον V; πλησιστίω Δ); χρῶνται τοῦτο καὶ ἐπὶ ἑτέρων πραγμάτων C ‖ 16 τῇ om. Δ | τῇ μεγίστῃ codd.; cr. Iacobitz ‖ 17 ὅταν ΔΩ ‖ 23 καταγελῶντα V ‖ 24 ὅτι σ. ὑποκοριστικόν ἐστι τ. σ. C ‖ 25 cf. Herod. 3, 154 sq.

ἦλθε τοῖς Βαβυλωνίοις ὡς παρὰ Δαρείου ταῦτα παθών. οἱ δὲ νομίσαντες αὐτὸν ἀληθῆ λέγειν κατεπίστευσαν αὐτῷ τὴν πόλιν, ὁ δὲ προέδωκε τῷ Δαρείῳ τὴν Βαβυλῶνα. καὶ διὰ τοῦτο ἰδὼν αὐτὸν ὁ Δαρεῖος εἶπεν 'ἠβουλόμην σεσωσμένον ἔχειν τὸν Ζώπυρον ἢ μυρίας μοι Βαβυλῶνας ὑπάρχειν'. ∼ ΓV

—] Δαρείου τοῦ Μήδου Βαβυλῶνι τῇ πρὸς τὸν Εὐφράτην προσεδρεύοντος καὶ ἑλεῖν ταύτην δι' ἰσχυρότητα καὶ ἀσφάλειαν μὴ δυναμένου Ζώπυρός τις ἀνὴρ τῶν ἐν τέλει Δαρείῳ προσελθὼν ἠξίου μαστιγώσαντα αὐτὸν καὶ λωβησάμενον ὅτων ἀφαιρέσει καὶ ῥινὸς ἀφεῖναι πορευθῆναι πρὸς Βαβυλῶνα τρόπον αὐτομόλου. οὕτως δὲ διαθεμένου αὐτὸν Δαρείου ἦλθεν φυγὰς δῆθεν πρὸς τοὺς Βαβυλωνίους. οἱ δὲ τὸ ἀνήκεστον ἰδόντες τοῦ πάθους ἐλπίσαντες ἀδιάλλακτα αὐτῷ τὰ πρὸς Δαρεῖον ἔσεσθαι καί τι καὶ δρᾶσαι τοῦτον ἀντάξιον τῆς τοιαύτης αἰκίας διανοηθῆναι πιστόν τε ἡγήσαντο ἑαυτοῖς Ζώπυρον καὶ ἐν τοῖς μάλιστα εὐεργέταις. καὶ δὴ φέροντες αὐτούς τε καὶ τὴν πόλιν ἐνεχείρισαν Ζωπύρῳ· ὃς μετ' ὀλίγον Δαρείῳ ἑαυτὸν ἐνεχείρισεν αὐτῇ παραθήκῃ. ἐφ' οἷς τοῦτο Δαρείῳ ἀνεφωνήθη τὸ 'ἐβουλόμην Ζώπυρον ἔχειν ἢ μυρίας Βαβυλῶνας εὐπορηκέναι'. ∼ Δ

22. Ὄνειρος ἢ Ἀλεκτρυών.

διάτορον*] ὀξύτονον. ∼ ΓV 1

ἄυπνος*] Αἰήτης ὁ τῶν Κόλχων βασιλεὺς εἶχε δέρμα προβάτου χρυσοῦν καὶ τοῦτο δράκων παρεφύλαττεν ἄυπνος. ∼ ΓVΩΔ, cf. φ

—] εἰς τὸ αὐτό. τὸ χρυσόμαλλόν φησι δέρος, ὃ Φρίξου

7 εὐφράτη Δ ‖ 18 φέροντες, φ incert., Δ; cogitavi de χαίροντες ‖ 27 ὅτι τὸ χρυσ. δ. τοῦ κριοῦ γέγονεν τοῦ διασώσαντος φρίξον τὸν ἀθάμαντος παῖδα διὰ τῆς θαλάσσης. καὶ ὅτι τυθέντος αὐτοῦ εἰς τὴν κολχίδα καὶ ἐκδαρέντος, ἐπεί, ὡς ὁ μῦθος, χρυσόμαλλος ἦν, ἐδόθη εἰς φυλακὴν ἀψύρτωι τῶι ἀδελφῶι μηδείας κτλ. Vat. 942 | εἰς τὸ αὐτό om. Δ

μὲν ἦν τοῦ Ἀθάμαντος παιδὸς τοῦ παιδαγωγοῦ, ὃς Κριὸς ὠνόμαστο, δορά, τυθέντος δὲ κατὰ τὴν Κολχίδα γῆν καὶ ἐκδαρέντος. καὶ ἐπεί, ὡς ὁ μῦθος, χρυσόμαλλον εἶχε τὸ δέρος, δεδόσθαι εἰς φυλακὴν ὑπὸ δρακόντων φυλασσόμενον. ἐφ' ὃ ὕστερον Ἰάσων μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἀποσταλεὶς ἐφ' ᾧτε κομίσασθαι καὶ πρὸς τὸ Ἄργος ἀποκαταστῆσαι, εἶτα Μηδείας τῆς θυγατρὸς μὲν Αἰήτου τοῦ βασιλεύοντος τῶν τόπων ἀδελφῆς δὲ Ἀψύρτου, ὃς ἐπεπίστευτο τὴν φυλακὴν τοῦ δέρους, διὰ τὸν πρὸς Ἰάσονα αὐτῆς ἔρωτα δόλῳ μὲν τὸν πατέρα μετελθούσης, Ἄψυρτον δὲ τὸν ἀδελφὸν ἀποκτεινάσης καὶ οὕτως συνεργησάσης Ἰάσονι αὐτό τε τὸ δέρος ληφθῆναι καὶ πρὸς τὸ Ἄργος διασωθῆναι. ~ VΔ. Addit Δ: ἡ ἱστορία παρ' Ἀπολλωνίῳ ἐν Ἀργοναυτικοῖς. ~

νῦν γάρ μοι πράγματα* κτλ.] ἐὰν θελήσω, φησίν, κρατῆσαί σε νῦν, δυσχερανῶ· πηδῶν γὰρ ἐν τῇ σκοτίᾳ δύνῃ διαφυγεῖν. ~ ΓVΩ

φθάνων] ἀντὶ τοῦ προλαμβάνων. ~ Δ

πρὸ ὁδοῦ ἔσῃ: τὸ ἐν τῇ συνηθείᾳ 'προκόψας ἔσῃ ἐν τῷ ἔργῳ τοῦ τροφὴν ὠνήσασθαι πεπορικὼς ἑαυτῷ'. ~ VΓφΔ. Addunt V et (cf. ann.) Δ: τοῦτο δὲ τὸ πρὸ ὁδοῦ παροιμιῶδές ἐστι λεγόμενον ἐπὶ τῶν ὥσπερ τι προτέλειον ἐκτελουμένων τῶν μετὰ ταῦτα γινομένων, συμβαλλόμενον μέντοι τοῖς μετὰ ταῦτα, εἰ καὶ κατὰ πάρεργον, ὥσπερ καὶ εἰ, οἷς ὁδεύειν πρόκειται, ἐπιτελεσθείη τι τῶν συνενεγκεῖν ἐχόντων τι τῇ ὁδῷ· παρ' ὃ καὶ πρὸ ὁδοῦ εἴρηται. ὁ δὲ νοῦς 'πρὸ

1 cf. schol. in Apollon. Argon. 1, 256 cet. ‖ 2 γῆν om. Δ ‖ 4 fort. δράκοντος ‖ 6. 9. 12 εἰς V ‖ 8 τῶν τόπων βασιλεύοντος Δ ‖ 12. 13 ἀνασωθῆναι Δ ‖ 19 ΓV in textu ἵν' ἐσθίῃς τὰ ἄλφιτα*, in mg. γρ' πρὸ ὁδοῦ ἔσῃ τοῦ (Luc. vulg. τοῦτο) ἐς τὰ ἄλφιτα πεπονηκώς: — tum schol. τὸ ἐν τῇ κτλ. ‖ 20 τούτω τροφὴν φ ‖ haec vix sana ‖ 21 in Δ post ἑαυτῷ legitur ἢ ἀντὶ τοῦ πρὸ τοῦ (26) — (p. 87, 2) ἐκπορίσει. Aliud schol. in Δ est: τὸ πρὸ ὁδοῦ (21) — (26) εἴρηται, (p. 87, 3) Πλάτων — (4) ἴωμεν ‖ 22 πρωτόλειον ἐκτελούμενον VΔ: cr. Iacobitz ‖ 26 καὶ τὸ πρὸ Δ 26 ὁ δὲ — p. 87, 2 ἐκπορίσοι etiam in φ

τοῦ ὀφειλομένου ἔργου ἔσῃ τοῦτο κατὰ πάρεργον πεπονηκώς, ὅ σοι τυχὸν τὴν ἀναγκαίαν τροφὴν ἐκπορίσοι'. καὶ Πλάτων ἐν Συμποσίῳ [174 D] "σύν τε δύ' ἐρχομένω πρὸ ὁδοῦ βουλευσόμεθα, ὅτι ἐροῦμεν. ἀλλ' ἴωμεν". ~

ἀνεγρόμενος*] ἀνεγειρόμενος. ~ Γ

Ζεῦ τεράστιε*] εἰώθεσαν οἱ ἀρχαῖοι ἀπὸ τῶν πραγμάτων 2 τὸν Δία καλεῖν, οἷον δεχόμενοι ξένον ἐκάλουν Δία ξένιον. οὕτω καὶ ἐνταῦθα καλεῖ τὸν Δία τεράστιον τὸν ἀποδιώκοντα τὰ τέρατα. τέρας δὲ λέγει τὸ ἀνθρωπίνῃ φωνῇ τὸν ἀλεκτρυόνα χρήσασθαι. ~ ΓVΔ

ἀλεξίκακε: ὁ ἀποδιώκων τὰ κακά. ~ ΓCΔ. Addunt ΓΔ: ἀλεξίκακος δὲ ὁ Ἡρακλῆς ὡς πολλὰ τῶν ἐν τῷ κόσμῳ κακῶν ἰασάμενος. ~

ἀποτρόπαιον] ὃ ἀποτρέπεταί τις. ~ ΓVΔ

Ἀργοῦς τρόπις*] τὰ κατὰ τοῦ πλοίου. Ἀργὼ δὲ ἐστι τὸ πλοῖον, ἐν ᾧ Ἰάσων ἔπλευσεν· τούτου δέ, ὡς λέγουσιν, ἡ τρόπις ἐλάλει. ~ ΓVΔ, cf. φ

-φηγὸς* ἐν Δωδώνῃ] μαντεῖον λέγουσι τοῦ Διὸς ἐν Δωδώνῃ, ὅπου φηγὸς ἤτοι δρῦς, εἰς ἣν ἐμαντεύοντο. ~ ΓVΔ

ἑρπούσας*] παρ' Ὁμήρῳ [μ 395] ταῦτα ἐπὶ τῶν Ἡλίου βοῶν ἐν Ὀδυσσείᾳ, οὓς οἱ ἑταῖροι τοῦ Ὀδυσσέως σφάξαντες ἐθοινῶντο. ~ Δ

οὐ χαλεπῶς*] οὐ δυσχερῶς. ~ ΓV

ἐχεμυθήσειν*] σιωπήσειν, φυλάξαι τὸ μυστήριον. ~ ΓVΔ

ὡς Ἀλεκτρυών τις κτλ.] κατὰ κοινοῦ τὸ ὥς, ἵν' ᾖ οὕτως 3 καὶ ὡς ξυμπίνοι καὶ ὡς ξυγκωμάζοι καὶ ὡς κοινωνοίη τῶν ἐρωτικῶν'. ~ ΔVO

ἀπίοι παρὰ τὴν Ἀφροδίτην κτλ.] λέγεται, ὅτι ἡ Ἀφρο-

---

1 ἔσῃ ἐν τούτῳ Δ ‖ 2 ἐκπορίσει Δ ‖ 2. 3 καὶ et ἐν om. Δ ‖ 3 ἐρχομένων V ‖ 3—4 πρὸ ὃ τοῦ Hom. K 224 ‖ 6 εἰώθασιν VΔ ‖ 9 τὸ Δ; τῷ ΓV ‖ sch. 15 et 18 coni. V ‖ 15 τὸ κατώτατον Vat. 1325 ‖ 19 ἤτοι Δ; ἐστιν ΓV ‖ 24 φυλάξειν Δ ‖ sch. 25 et 28 coni. (ordine inverso) VO

δίτη τὸν Ἥφαιστον εἶχεν ἄνδρα καὶ ὁ Ἄρης ταύτην ἐμοίχευεν. ~ ΓVΟΩΔ

λαθόντα] ἀγνοηθέντα.* ~ ΓV

οὐδὲν] ὄφελος· τὸ ἑξῆς· καίτοι οὐδὲν ὄφελος· τί γὰρ μετὰ τὸ γενέσθαι τὴν προδοσίαν, εἰ βοᾶτε, ὄφελος;* ~ ΔV

4 *ἐκτράπεζον*] ἔξω τῆς τραπέζης.* ~ ΓVΔ

Εὔφορβος] οὗτος εἷς ἦν τῶν Τρώων, ὅστις καὶ πρῶτος δόρατι τὸν Πάτροκλον ἔπληξεν.* ~ ΓVΟΩΔ

Μνησάρχου παῖ] Μνήσαρχος πατὴρ ἦν Πυθαγόρου. καλῶς οὖν παίζων Μνησάρχου παῖδα τὸν Ἀλεκτρύονα ἐκάλεσεν.* ~ ΓVφΟΩΔ

ἀντὶ δὲ Σαμίου Ταναγραῖος] Σάμος νῆσος ἦν, ὅθεν ὁ Πυθαγόρας, Τάναγρα δὲ πόλις Βοιωτίας, ὅθεν ὁ Μίκυλλος.* ~ ΓVφΟΩΔ

Ταναγραῖος] γράφεται Ταναγρικός. ἐν Τανάγρᾳ τὰ τῆς ὑποθέσεως. ἡ δὲ Τάναγρα πόλις Βοιωτική.* ~ Δ

οὐδὲν μελλήσας] οὐκ ἀναμείνας.* ~ ΓV

Πυθαγόρειόν ἐστι τοῦτο τὸ δόγμα 'ἴσον τὸ φαγεῖν κυάμους τῷ φαγεῖν τὴν κεφαλὴν τοῦ πατρός'. ~ ΓVΔ

5 *οὐκ ἀπόρρητος*] οὐκ ἀπηγορευμένη.* ~ ΔΓV

οὐκ οἶδα, ὁπότερον ἂν ἑλοίμην] καλῶς γε σὺ ποιῶν· ἄμφω γὰρ τερατώδη καὶ εἰς φάσμα ψιλὸν ἀποτελοῦντα.* ~ Δ

ἀναπεμπάζῃ] τὰ προθεωρηθέντα ἀναμιμνήσκῃ.* ~ ΓVΦΔ

6 *δεινόν*] μέγαν, θαυμαστόν.* ~ ΓV

ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ] Φάυλλός τις ἐγένετο, ὅστις ἐπήδα πολλά. τῶν οὖν πρὸ αὐτοῦ σκαπτόντων πεντήκοντα πόδας καὶ τούτους πηδώντων ὁ Φάυλλος ὑπὲρ τοὺς ν' πάνυ ἐπήδησεν. ἐκράτησεν οὖν ἡ παροιμία ἐπὶ

4 *καί τι* V; *Ἄρει* Fritzsche ex Luc. ‖ 12 *ἦν* ΓV; *ἐστιν* ΟΔ ‖ sch. 17 cum 12 coni. ΓV ‖ 18 cf. sch. Dial. mort. VI 3 ‖ 23 *ἀναμιμνήσκει* ΓVΦ ‖ 24 *μέγα* Γ ‖ 28 *πάνυ* codd.; fort. *πέντε*, cf. Suid. (s. v. *ὑπὲρ τὰ ἐσκ.*) *πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάυλλος*

τῶν ὑπὲρ τὸ ὡρισμένον τι ποιούντων 'ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν'. ~ ΓVΦΩΔ

μελιχρός*] ἡδύς. ~ ΓV

ἀποψήσῃ*] ἀπομάξῃ. ~ ΓVO

ἐλεφαντίνων*] λέγει Ὅμηρος [τ 562] διὰ μὲν τῶν ἐλεφαντίνων πυλῶν τοὺς ψευδεῖς ὀνείρους ἔρχεσθαι, διὰ δὲ τῶν κερατίνων τοὺς ἀληθεῖς. ~ VΓΦ

τυφλός*] ἱστοροῦσιν Ὅμηρον οἱ μὲν καὶ ἀπὸ γενεᾶς τυφλὸν καὶ τὸ σύμπτωμα ὄνομα τούτῳ γενέσθαι ὁμήρους καλούντων Δωριέων τοὺς τυφλούς. Ἡρόδοτος [c. 3 et 13, Biogr., ed. Westermann, p. 2 et 6] μέντοι τὸν Ὁμήρου γράφων βίον οὐκ ἀπὸ γενέσεως τυφλὸν αὐτὸν ἱστορεῖ, ἀλλὰ πολλὴν ἀλώμενον γῆν ἱστορίας χάριν γενέσθαι κατὰ τὴν Ἀττικὴν κἀκεῖ νοσήσαντα χαλεπῶς ὑπὸ τῆς νόσου τὴν ὄψιν ἀποβαλεῖν. ~ VCΦΩΔ. Addit C: οἱ δὲ Βαβυλώνιον λέγουσιν αὐτὸν καὶ ὁμηρεύσαντα ἤγουν πρεσβεύσαντα πρὸς Ἀθηναίους οὕτω κληθῆναι. ~

Μίδα*] λέγεται, ὅτι Μίδας πάνυ ὢν φιλόχρυσος ηὔξατο πᾶν πρᾶγμα, οὗ ἂν ἅψηται, χρυσοῦν γίνεσθαι. φασὶ δέ, ὅτι καὶ ἀπὸ τούτου ἀπέθανεν· καὶ αὐτὴ γὰρ ἡ τροφή, ἧς ἥπτετο, χρυσῆ ἐγίγνετο. ~ ΓVΦOΩ

πολύ: χυδαῖον γὰρ τὸ πολύ. ~ VΔ 7

ἄριστον* μὲν ὕδωρ κτλ.] ἡ σύνταξις οὕτως· ἄριστον μὲν τὸ ὕδωρ, ὁ δὲ χρυσὸς καθάπερ τὸ πῦρ ἐν νυκτὶ διαπρέπει κατὰ τὴν ἐξοχὴν τοῦ πλούτου. ~ ΓVΦOΩΔ

Εὐκράτης] οὗτος ὁ Εὐκράτης παρ' Ἀθηναίοις ἦν πλούσιος. ~ ΓVφΔ

ὑποβεβρεγμένος] ἀντὶ τοῦ μεθύων. ~ VΦΔ 8

σὺν τριβακῷ] ἐν πενιχρῷ. ~ V 9

---

2 πηδᾶ VΔ ‖ 10 αἰολέων Vat. 942 (Κυμαῖοι Pseudo-Herod. l. l.) ‖ 12 αὐτὸν C: om. cet. ‖ 13 ἐς Κολοφῶνα Pseudo-Herod. ‖ 14 κἀκεῖνον V ‖ 15 cf. Luc. Ver. hist. II 20 ‖ 18 λέγεται ὁ codd. | εὔξασθαι O ‖ 19 ἅψῃ τί Γ

ἠπίαλον*] ῥῖγος πρὸ πυρετοῦ. ~ ΓVΦΩΔ. Addit Δ: ἢ ῥῖγος συνημμένον πυρετῷ. ~

ἔφεδρος*] ἡνίκα δύο παλαίουσιν ἀθληταί, κάθηταί τις ἔξωθεν ἄλλος ὀφείλων τῷ νικῶντι παλῆσαι, καὶ ὁ τοιοῦτος καλεῖται ἔφεδρος ἀντὶ τοῦ ἡττωμένου εἰσερχόμενος. ~ ΓVΦΩΔ. Addit Δ: μεταφορικὴ οὖν ἐνταῦθα ἡ λέξις. ~

στοιχεῖον ἐνταῦθα λέγει τὴν τοῦ ἡλίου σκιάν· εἰώθεσαν γὰρ ὁρίζειν, ἡνίκα τυχὸν ἡ σκιὰ γένηται πεντάπους, συνελθεῖν. ~ ΓCVΦΩΔ

ὁποσάπουν τὸ στοιχεῖον: οὕτως εἰώθεσαν οἱ παλαιοὶ καλεῖν τὸν ἥλιον ἢ τὴν σκιὰν τὴν ἀπὸ τοῦ ἡλίου. ~ ΔCVΦ. Addunt VΦΔ: τοιοῦτο δὲ τὸ λεγόμενον, ὅπως βραδὺς κατὰ τὴν κίνησιν ὁ ἥλιος· οἱ γὰρ ἐπισπεύδοντές τινι καὶ τὸ βραχύτατον τῆς ὥρας μακρὸν καὶ ἀπέραντον ἡγοῦνται. ~

κουριῶν*] καρῆναι δεόμενος. ~ ΓVΩΔ

ἐπερειδομένῳ] ἐπανακλινομένῳ. ~ ΓV

μάτην λύκος χανών] παροιμία ἐπὶ τῶν ἐλπιζόντων τι καὶ παρ' ἐλπίδας πρατόντων. ~ ΓVΦΔ

πότος παροξυτόνως μὲν σημαίνει τὸ συμπόσιον, ὀξυτόνως δὲ αὐτὸ τὸ πόμα καὶ τὸ πίνειν δηλοῖ. ~ Δ

φιλοτησίας*] φιλοτησίαν προπίνειν ἐστίν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος τὸ λοιπὸν παράσχῃ φίλῳ καὶ τὴν φιάλην χαρισάμενος. ~ ΓVΦΩΔ

τῆς Ἀργολικῆς ἐκείνης μείρακος] τῆς Δανάης τοῦ Ἀκρισίου. ~ VΩ

Ἀκρισίου*] ὁ Ἀκρίσιος βασιλεὺς ὢν τοῦ Ἄργους ἔλαβε χρησμόν, ὅτι ὁ γενόμενος ἀπὸ τῆς θυγατρὸς αὐτοῦ Δανάης φονεύσει αὐτόν, καὶ διὰ τοῦτο φοβηθεὶς ἀπέκλεισεν αὐτὴν

---

4 παλαῖσαι Δ; παλέσαι V ‖ sch. 7 et 10 coni. (οὕτως δὲ) CVΦ ‖ 7 ἐνταῦθα om. C | λ^{E} καὶ τὴν C | εἰώθασι CV ‖ 10 cf. sch. Cron. 17 | εἰώθασιν C ‖ 12 τοῦτο Δ ‖ 18 ἐλπ. ἀποτυγχανόντων V ‖ 19 πότος Luc. (cf. Ammon. De diff. s. v. πότος); πότον Δ | 21 cf. sch. De merc. cond. 16 ‖ sch. 24. 26 coni. V (ὁ δὲ) ‖ 28 φονεύει ΓΩ (cf. p. 55, 8 ann. ἐκβάλλει)

ἐν χαλκῷ οἴκῳ. καὶ ὁ Ζεὺς ἐρασθεὶς αὐτῆς μετεβλήθη εἰς χρυσὸν καὶ ἔφθειρεν αὐτὴν εἰσελθὼν διὰ τοῦ δώματος. ∼ ΓVΦΩΔ

*ἔτνος**] *πισσάριον.* ∼ ΔΓV 14

*τοῖς Κρονίοις**] *ἐν τῇ ἑορτῇ τοῦ Κρόνου.* ∼ VΓΦOΩΔ

*τόμους**] *τμήματα.* ∼ ΓVΦOΩ

*ἀλλᾶντος**] *λοκανίκου.* ∼ ΓVΦΔ

ἁλουργῆ] *πορφυρᾶ.* ∼ ΓVΦOΩ

*ὑσγινοβαφῆ**] *ὕσγινόν ἐστιν ἄνθος ἐοικὸς ὑακίνθῳ βαθύτερον.* ∼ ΓCVΦΩΔ. Addunt CVΦΩΔ: *ἴσως δὲ τὰ ἀπὸ χοιρείων αἱμάτων βαπτόμενα.* ∼

*τοῖς πολλοῖς**] *πολλοὺς πλειστάκις καλοῦσι τοὺς μὴ φρονίμους ἀλλὰ ἀνοήτους.* ∼ Δ 15

*ἄοικος ἑστώς**] *πρὸ τούτου, φησίν, εἰς τὸ σῶμα τοῦ Πυθαγόρου ἐπλανώμην οἶκον ζητῶν, ὅ ἐστι σῶμα, ἕως ὅτε Μνήσαρχος ὁ πατὴρ ὁ ἐμὸς ἔκτισέ μοι οἶκον, τουτέστιν ἔσπειρέ με.* ∼ ΓVΩΔ 17

*ὦ τάν**] *ὦ ἑταῖρε.* ∼ ΓVΩ

—] σημαίνει τὸ ἑταῖρε καὶ γίνεται παρὰ τὸ ἔτης, ὃ σημαίνει τὸν συγγενῆ, "κασίγνητοί τε ἔται τε" [Hom. Π 456]. ἐξ αὐτοῦ γίνεται ἐτητάν, ὡς μέγιστος μεγιστάν, καὶ ἐν συγκοπῇ ἐτάν καὶ κλητικῶς ὦ ἐτάν καὶ ἀποβολῇ τοῦ ε̄ ⟨ὦ⟩ τάν. ∼ Δ

*ἐν Βάκτροις**] *χώρα Περσική.* ∼ ΓV

Αἴαντα κτλ.] *ὅρα, οἷά φησιν, εἰ καὶ ὡς περισύρων τὰ τοῦ Ὁμήρου καὶ ἐν σχήματι παιδιᾶς, ἀλλ' ὅμως ἐναντία τοῖς ἐκείνῳ συγγραφεῖσι καὶ παραδοθεῖσιν ἡμῖν καὶ μάλιστα περὶ τῆς Τροίας, ὅτι πρῴην ὑφ' Ἡρακλέους κατεσχέθη ἡ Τροία.* ∼ Φ

---

sch. 5. 6. 7 coni. Vφ ‖ 7 *λοκάνικα* V; *λουκανικοῦ* Laur. 32, 13 ‖ 9 *ἐοικὸς* om. C ‖ 9. 10 *βαρύτερον* C; *ἀλλὰ τούτου βαθύτερον* Δ; fort. *βαθύτερον δέ* ‖ 9—11 in Δ ordo inversus (*ἴσως τὰ — βαπτόμενα. ἄλλως· ὕσγινον κτλ.*) ‖ 14 *ἄοικος, κητος* sup. m 2, Γ text.

*πόθεν** *γὰρ πολέμιος ὤν*] *ὁ γὰρ Εὔφορβος τῶν Τρώων, ὁ δὲ Ἀχιλλεὺς τῶν Ἑλλήνων.* ~ ΔΓVΩ

18 *σοφιστής**] *καθόλου σοφιστὰς ἐκάλουν τοὺς ἀπατῶντας διὰ τῶν λόγων.* ~ ΓφΩΔ

οὐδὲν ὑγιὲς κτλ.] *ὠραῖον.* ~ ΓV 5

καταγελᾷς μου καὶ σὺ ἐν τῷ μέρει κτλ.] *κἂν εἰς μέρος, φησί, καταγελάσω σου, ὅσον κατεγέλασα Κροτωνιατῶν καὶ τῶν ἄλλων.* ~ ΓVΦΩΔ

19 *ὁ Τειρεσίας, ὡς λέγουσιν, εἶδε τὴν Ἀθηνᾶν λουομένην, κἀκείνη ὀργισθεῖσα μετέβαλεν αὐτὸν εἰς γυναῖκα.* ~ ΓCVΔ 10

ὁ Καινεὺς πρότερον, ὥς φασιν, γυνὴ ἦν. ἠράσθη ταύτης ὁ Ποσειδῶν, ἡ δὲ οὐκ ἄλλως ἔφη συγγίνεσθαι αὐτῷ, εἰ μὴ ὁμόση αὐτῇ πρότερον ποιήσειν, ὃ βούλεται. ὀμόσαντος δὲ τοῦ Ποσειδῶνος εἶπεν ὅτι 'ἄνδρα με ποίησον'. ὁ δὲ διὰ τὸν ὅρκον ποιήσας οὐκ ἠδυνήθη συγγενέσθαι. ~ ΓCVΦΩΔ 15

—] *λέγεται τὸν Καινέα ἐκ γυναικὸς εἰς ἄνδρα μεταβαλλόμενον καὶ γενναιότατον γενέσθαι, ὑπὸ Κενταύρων γε μὴν ὀλέσθαι ἐλάταις ἀλοώμενον.* ~ VφΩΔ. Addit Δ: *ὥς φησιν Ἀπολλώνιος ἐν Ἀργοναυτικοῖς* [1, 59]. ~

*Τειρεσίᾳ**] *ἠμφισβήτησαν ἀλλήλοις ὁ Ζεὺς καὶ ἡ Ἥρα, τίς τῆς λαγνείας μᾶλλον ὀρέγεται, ἀνὴρ ἢ γυνή, καὶ ἔλαβον δικαστὴν τὸν Τειρεσίαν ὡς ἔμπειρον ὄντα τῶν δύο. ὁ δὲ ἔφη, ὡς ἐνναπλάσιον ἡ γυνὴ τοῦ ἀνδρὸς ὀρέγεται· καὶ ὀργισθεῖσα ἡ Ἥρα ἐτύφλωσεν αὐτόν.* ~ ΓCVΦΩΔ. Addit Δ: *ὁ δὲ Ζεὺς παρεμυθήσατο τῇ μαντικῇ.* ~ 20 25

*συνενεγκοῦσαν**] *ἐπὶ συμφέροντι γενομένην.* ~ ΓVφΟΩ

---

6 *σὺ ἐν τῷ μέρει* in ras. m 2 Γ text. | *κἂν* VΔ; *κ*^{α} ΓΩ; *καὶ* Ox. Canon. 41 Ω | *ἐκ* V | *μέρος* Δ; *μέρους* VΦ; *μεροὺς* Γ ‖ 7 *καταγελῶ* Φ | *καὶ οὐχ ὅσον* Fritzsche | *κατεγέλασας* codd.; cr. Fritzsche ex 'cod.' ‖ 9 cf. sch. Dial mer. V 4 ‖ 10 *μετέβαλλεν* Γ ‖ 11 *καὶ ἠράσθη* CΔ ‖ 12 *συγγενέσθαι* ΦΔ ‖ 13 *αὐτῇ* CVΦ; *αὐτὸν* ΓΔ sch. 11. 16 coni. V, cf. Bachmann, Anecd. Paris. II 364, 8; sch. 11 (*ἄλλως· ὁ καινεὺς κτλ*.) post sch. 16 Δ ‖ 17—18 *ὑπὸ* et *γε — ἀλοώμενον* om. Δ ‖ sch. 20 et 26 ordine inverso (*ἠμφισβήτησαν γὰρ κτλ*.) coni. V ‖ 22 *τὸν* om. C

*Διοσκόρω**] καὶ τοῦτο θαυμαστικῶς ἀναφωνεῖ. τοὺς *Διοσ- 20
κόρους δὲ παραλαμβάνει ὡς σωτῆρας δῆθεν, ὡς ἂν μὴ
τῇ μεταβολῇ τῶν βίων ναυάγιον ὑποσταῖεν ὡς οἱ ἀπὸ γῆς
πρὸς τὴν θάλασσαν μεταποιούμενοι. ~ VΦΩΔ
ποτνιωμένου] ὀδυρομένου. ~ ΓV
οἰσυίνην*] οἰσυίνη ἡ ἐκ λύγων ἀρχαιοτρόπως πεπλεγμένη, 21
ὁποῖα ἔσθ' ὅτε καὶ ἐξ Αἰγύπτου κομίζεται κοιτίδια τοιαύτης
ἐργασίας. ~ Δ
—] τὴν ἀπὸ τῆς οἰσύας. οἰσύα δέ ἐστιν ἀκανθώδης βο-
τάνη, ἀφ' ἧς πλέκουσι τὰ σχοινία. ~ ΓVΦΩΔ
πονοῦσιν*] κατασκευάζουσιν. ~ ΔΓVφΩ 22
κατεχαλάζησας*] κατέχεας. ~ ΔΓVφ
διαπυκτεύων: ἀντὶ τοῦ διασκοπούμενος καὶ ἐξακριβῶν·
ἐπεὶ καὶ οἱ πύκται περὶ πολλοῦ ποιοῦνται τὴν πρὸς τὸν
ἀνταγωνιστὴν βολὴν κατακαίριον ποιῆσαι ἀλλὰ μὴ μάτην
μηδὲ πρὸς ἀέρα δέρειν τὴν πυγμὴν πέμψαντα. ~ CVΦΩΔ
σαπέρδην*] εἶδός τι ἁλιστοῦ. οἱ δὲ τὸν Πόντον οἰκοῦντες
τὸν κορακῖνον ἰχθύν. ~ ΓCΦ, cf. Δ
—] εὐτελὲς βρῶμα ἀπὸ ἰχθύων μικρῶν τεταριχευμένων, οἷα
νῦν τὰ ἀπὸ τῶν ἀφύων ἤτοι ἐγγραύλεων ἢ τῶν σαύρων
διειρμένα καλάμοις πτύχια. ἔνιοι δὲ σαπέρδην εἰρήκασι
τὸ ἐκ συὸς τάριχος, ὃ νῦν γόνδην Παφλαγόνες φασὶ καὶ
χρῶνται. ~ VΦΩ, cf. Δ
μαινίδας*] τὴν καλουμένην μαινομένην. ~ ΓV
ἄθλιοι τί τῶν κακῶν κτλ.] ὡραῖον. ~ Γ 23
νοτίζεσθαι*] βρέχεσθαι. ~ ΓΔ
ἐπιεικεῖς] τὸ ἐπιεικές τρία δηλοῖ, τὸ τὸν τρόπον ἀγαθόν,
ὡς ὅταν λέγωμεν 'ἐπιεικὴς ἄνθρωπος', καὶ τὸ σύμμετρον,
—

3 ὑποσταίη Solanus ‖ 4 εἰς τὴν V ‖ 6 cf. sch. De hist. consc. 23 ‖ 9 τὴν M; τῆς ΓφΔ; τοῖς V ‖ οἰσυίας οἰσυῖα Γ, cf. sch. Dial. deor. XII 2 ‖ 13 σκοπούμενος καὶ ἐκσοβῶν Δ ‖ 17 ὅτι μαινίδας εἶδός τι ἁλιστοῦ ἔλεγον, οἱ κτλ. C ‖ 18 κορκῖνον ΓφΔ; cf. sch. Dial. mer. 14, 2. De hist. consc. 56 ‖ 21 οἱ δὲ ἀκριβέστεροι Δ ‖ 22 ἰόνδην Etym. ‖ sch. 19 et 24 coni. V (μαινὶς δὲ καὶ αὐτὸ εἶδός τι τὴν καλουμένην μαινομένην)

ὡς ὅταν λέγωμεν ὅτι 'ἐπιεικῶς ὅδε ξῇ' ἀντὶ τοῦ συμμέτρως, καὶ τὸ πάνυ, ὡς ἐν τοῖς Ὀλυνθιακοῖς ὁ Δημοσθένης [I 4] *"οὐ μὴν ἀλλ' ἐπιεικῶς τοῦθ' ὃ δυσμαχώτατόν ἐστιν"* *ἀντὶ τοῦ πάνυ δυσμαχώτατον.* ~ Δ

Κροῖσος περιτετιλμένος τὰ πτερά]* *ἀντὶ τοῦ καταλυθεὶς ἀπὸ τῆς βασιλείας. νικήσας δὲ αὐτὸν ὁ Κῦρος ἠθέλησεν αὐτὸν καῦσαι καὶ μετὰ ταῦτα ἐλεήσας ἔσωσεν.* ~ ΓVΦΩΔ

24 *τραγῳδία*]* *ἐπειδὴ τὰ ἐν τῇ τραγῳδίᾳ κομπά ἐστιν, εἰκότως τραγῳδίαν τὸν ἑαυτοῦ κόμπον ἐκάλεσεν.* ~ ΔΓV

ἐφεστρίδα]* *τὸ φορούμενον ἔξωθεν ἱμάτιον.* ~ ΓVΩΔ

Φειδίας κτλ.]* *οὗτοι ἀγαλματοποιοὶ ἦσαν.* ~ VΓ

25 *οὐδέπω — γόμφους* κτλ.]* *τουτέστιν οὔπω ἡμῖν εἶπας τὴν οὖσαν ἔνδον τῆς ἀρχῆς συμφοράν.* ~ ΓVΦΩΔ

Πέρσην κτλ.] *Ἀρταξέρξου Περσῶν βασιλεύοντος Κῦρος ὁ ἀδελφὸς τὴν βασιλείαν ἀποσπάσαι βουλόμενος διὰ Κλεάρχου πολὺ συνῆξε στρατόπεδον.* ~ ΓVΔ

ξενολογῶν]* *ξένους στρατιώτας συνάγων.* ~ ΓVΦΩ

πρὸς οὓς — κοινολογούμενος]* *ἰδίᾳ ἀνακοινούμενος.* ~ ΓVφ

ἄλλον Παρμενίων ἐπαινούμενος]* *τὸν Φίλιππον λέγει· τούτου γὰρ στρατηγὸς ὢν ὁ Παρμενίων πάνυ ηὐδοκίμει.* ~ ΓVΦΩΔ

Περδίκκαν Πτολεμαῖος καὶ Πτολεμαῖον Σέλευκος]* *οὗτοι οἱ τρεῖς διάδοχοι ἦσαν Ἀλεξάνδρου, καὶ ὁ μὲν Περδίκκας συνδιώκει Ἀριδαίῳ τῷ βασιλεύοντι μετ' Ἀλεξάνδρου ἀσθενεῖ ὄντι τὴν βασιλείαν, ὁ δὲ Πτολεμαῖος ἦρχεν Αἰγύπτου καὶ Σέλευκος τῶν περὶ Βαβυλῶνα τόπων, ὡς ἱστορεῖ Δέξιππος* [F. H. G. III p. 668 Müller]. ~ ΓVΩΔ

26 *ἁμάρτοι τῆς τομῆς κτλ.]* *τὸ ἑξῆς· τῆς ἐπ' εὐθὺ τομῆς.* ~ V

προσκρούσας]* *κενεμβατήσας.* ~ Γ

10 *παρὰ τοῖς βασιλεῦσι* post *ἱμάτιον* add. sch. Dial. mort. XX 4 ‖ 11 *ἦσαν ἄριστοι* sch. Iov. trag. 7 ‖ 16 *πολὺν* ΓV ‖ sch. 17 et 18 coni. (*καὶ ἰδίᾳ*) Vφ ‖ 20 *Φιλίππου* Solanus ‖ 25 *ἀλέξανδρον* Δ (at cf. sch. Iov. trag. 18 cet.) ‖ 30 et p. 95, 1 *κεν-*

ἐμβάδων*] κοθόρνων. ~ Γ

ταῖς* φυσικαῖς ἐπιθυμίαις] πάνυ καταλλήλως τοῖς φυ- 27
σικοῖς τῶν ζῴων ἤθεσι τὰ τῶν ἀνθρώπων ἐπιτηδεύματα
ἥρμοσε, τῷ πρὸς τὰς θηλείας πλεονεκτικῷ τοῦ ἵππου τὸ
τοῦ τελώνου ἄπληστον, τῇ τῶν βατράχων φλυαρίᾳ τὸ συκο-
φαντικόν, τῷ κωτίλῳ τῶν κολοιῶν καὶ θορυβώδει τὸ σοφι-
στικόν, τῷ δηκτικῷ τῶν κωνώπων καὶ παντὸς οὐτινοσοῦν
προσαπτικῷ τὸ μαγειρικόν, τῷ πρὸς ὀχείαν ἑτοίμῳ τοῦ
ἀλεκτρυόνος τὸ τῆς κιναιδίας ἀκόλαστον. ~ VΩΔ

*Τίβιος**] οἰκέτου ὄνομα. ~ ΔΓVΩ 29

τάριχος*] ἁλιστόν. ~ ΓΔ

ἑλλόβιον*] ἐνώτιον τὸ ἐν τῷ λοβῷ, ὅ ἐστι τῷ τοῦ ὠτὸς
ἄκρῳ, βαλλόμενον. ~ ΓVΩΔ

σπαθῶσι*] μετὰ τρυφῆς δαπανῶσιν. ~ ΓVΩΔ

περίειμι*] περιελεύσομαι. ~ Δ

σίλφην*] ζωύφιον ἐοικὸς κανθάρῳ. λέγεται δὲ καὶ τίλφη. ~ 31
ΓVφΔ

ἐμπίδα*] ζωύφιον ἐοικὸς κώνωπι γινόμενον ἐν τοῖς ὕδασιν. ~
ΓVφΔ. Addit Δ: οἱ δὲ ἐμπίδα τὴν νυκτερίδα φασίν. ~

ἀνέῳγε*] ἰδοὺ καὶ αὐτὸς ἀνέῳγεν ἐπὶ τοῦ παθητικοῦ εἶπεν· 32
καὶ ποῦ σοι νῦν ἡ ἐθελακρίβεια, ᾗ σολοικίζειν ἀπηυθα-
δίζου τὸν κακοδαίμονα σοφιστήν [Soloec. c. 8]; ~ Δ

καταπυγοσύνην τινά: καὶ οὐ συνήδομαί γε τῇ ἀσελγείᾳ·
οὐκοῦν οὐδὲ ἀνθρωπίνην εἶναι νομίζω. ~ Δ

τὸ λυκαυγές*] τὸ ἑωθινόν, ἔτι μικρᾶς σκοτίας οὔσης. ~ 33
ΓVΩΔ

23. *Προμηθεύς.*

πλάσματα*] τὸν Προμηθέα γὰρ λέγουσιν Ἕλληνες τοὺς 1
ἀνθρώπους δημιουργῆσαι. ~ ΓVΦΔ

ἐμβατήσας et κοθόρνων vulgo in textu; aperte προσκρούσας et ἐμβάδων in codicis Γ archetypo his ascripta erant

12 cf. sch. Lexiph. 9 ‖ 16 τίλφη Vat. 1325, cf. sch. Adv. ind. 17; τιφή cet. ‖ 18 παρὰ pro ἐν Suid. ‖ 21 cf. schol. p. 40, 4

ἀπότομοι*] ἀποτετμημέναι, μηδεμίαν ἔχουσαι διάβασιν. ~ ΓVφΟΩΔ

3 Κρόνε* κτλ.] ὁ μὲν Κρόνος πατὴρ ἦν τοῦ Διός, ὁ δὲ Ἰαπετὸς ἀδελφὸς Προμηθέως. ἦσαν δὲ τῶν διωχθέντων ὑπὸ Διὸς θεῶν, καὶ διὰ τοῦτο αὐτοὺς καλεῖ. ~ ΓVφΩΔ

ἐγχειρισθείς*] ἐμπιστευθείς. ~ ΓV

4 ἔοικας ὦ Ἑρμῆ κτλ.] ὡραῖον. ~ ΓV

τῆς ἐν πρυτανείῳ* σιτήσεως — ἐτιμησάμην ἂν ἐμαυτῷ] ἄξιον ἐμαυτὸν ἔλεγον. πρυτανεῖον δέ ἐστιν, ἐν ᾧ οἱ πρῶτοι συνήγοντο τῶν βουλευτῶν, ὅθεν καὶ τῆς σιτήσεως ἀπέλαυον. ~ ΓVφΩΔ

—] ⌊τοὺς γάρ⌋ τι μέγα εἰργασμένους ⌊τῶν πο⌋λιτικῶν καλῶν ταύτῃ ⌊τῇ δ⌋ωρεᾷ οἱ πάλαι ⌊ἐτί⌋μων. ~ ⌊B⌋VφΩΔ

ἕωλον*] ψυχρὰ καὶ ἀνωφελής. ~ ΓVφΩΔ

ἔφεσιν*] ἔφεσίς ἐστιν ἡ ἀπὸ δικαστηρίου εἰς ἄλλο δικαστήριον μετάβασις, ἣν καλοῦσι νῦν ἔκκλητον. φησὶν οὖν ὅτι ‘ἀνωφελής σοί ἐστιν ἡ ἔφεσις· μετὰ γὰρ τὴν ψῆφον τοῦ Διὸς οὐδὲν ποιῆσαι ἄλλο δυνάμεθα’. ~ ΓVΦΩΔ

—] ⌊ἔφεσιν οἱ δικανικοί⌋ φασιν, ⌊ἡνίκα ὁ κρινόμ⌋ενος μεῖζον δικαστήριον ἐξαιτεῖται. ~ ⌊B⌋VφΩΔ

6 μοιρᾶσαι*] διαμερίσαι. ~ ΓV

8 διασιλλαίνειν*] σίλλος ἐπὶ σκωμμάτων, κατὰ τροπὴν τοῦ τ εἰς σ, τίλλοι τινές· τίλλειν δέ ἐστι τὸ σκώπτειν. δηλοῖ δὲ καὶ χλευαστικὸν ποίημα παρὰ τὸ διασείειν τοὺς ἴλλους καὶ διασύρειν τῷ σχήματι τῶν ὀφθαλμῶν· ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ παρὰ τὸ εἰλεῖσθαι ἐν αὐτοῖς τὰς κόρας. ~ Δ

10 ἀλλ᾽ ὅμως ἐκείνων κτλ.] ὡραῖον. ~ ΓV

12 ἡ ἐξέτασις*] ἀντὶ τοῦ ἡ παράθεσις. ~ BVφΩΔ

---

9 ἄξιον ἂν V; ἂν om. ΓφΩΔ | πρωτάνειον Γ ‖ 10—11 τὰς σιτήσεις ἀπέλυον codd.; cr. Hemsterhuis ‖ coni. sch. 12 (τοὺς δέ τι) VφΩ ‖ 14 ἐκπρόθεσμον pro ἕωλον Luc. vulg. | ψυχρὸν — ἀνωφελές V; cf. Phot. s. v. ἕωλον ‖ 16 φησὶ δὲ ὅτι V ‖ 18 coni. sch. 19 (ἔφεσιν δὲ) V; ἄλλως ἔφεσιν οἱ κτλ. Ω ‖ 20 ἐξαιτῆται V ‖ 22 διασιλλαίνειν (text.) et σίλος Δ ; σίλλοι· ἐπισκώμματα κτλ. Etym.

*εὐδαιμονέστερον ἀποφαίνειν**] τοῦ θείου δηλονότι. ~ ΓVΩΔ

ταῦτά ἐστι κτλ.] *βαρύτητος ὁ λόγος.* ~ BVφΩΔ 13

ἀκαμῆ: ἀντὶ τοῦ ἀκατασκεύαστον, ἀπεριποίητον, ἀκατέργαστον. ~ BCVφΔ

μεσταὶ δὲ Διὸς κτλ.] *Ἀράτου* [Phaen. 2]. ~ Δ

—] *οἷον ἐπικαιρότατον τοῦτο προήνεγκεν.* ~ B

νῦν δ' εἰς τὸ κοινὸν — Ἀπόλλωνος] *κατ' εἰρωνείαν.* ~ ΓVΩ

τἀμαυτοῦ μόνα σκοπῶ κτλ.] *καὶ τοῦτο βαρύτητος· εἰρωνεία γάρ.* ~ BVφΩ

παραθῶμεν πρὸς ἔλαττον: ἀντὶ τοῦ ἐξετάζοιμεν, συγκρίνοιμεν, παραβάλλοιμεν. ~ CBVΩΔ 15

*διατριβήν**] ⌊ἡ διατριβὴ ἐνταῦθα τὴν ἄνεσιν σημαίνει καὶ τὴν κατὰ σχολὴν ἀπόλαυσιν.⌋ ~ V⌊B⌋φΩΔ 16

ταῦροι κτλ.*] *ταῦτα πάντα ὁ Ζεὺς γέγονε, δι' Εὐρώπην ταῦρος, δι' Ἀντιόπην Σάτυρος, διὰ Ἀήδαν κύκνος.* ~ VΓΦΩΔ 17

*μέτειμι**] *μετελεύσομαι.* ~ Δ 18

*ἐναυσαμένου**] *ἅψαντος.* ~ ΓV

*ἐάων**] *τῶν ἀγαθῶν.* ~ ΓVΔ

κνισᾶν ἀγυιάς: ἀντὶ τοῦ θύειν. ~ BΔ 19

—] *θυμιᾶν.* ~ ΓV

*ὤνησο**] *εὐφράνθητι.* ~ ΓV. Addit V: *ὡμοίωσο.* ~ 20

ἓξ καὶ δέκα: Ἀττικῶς τιὸ ξ̄⌋ ἐφυλάχθη· αὐτοὶ γὰρ ⌊ἐπὶ⌋ τῆς τῶν ἀριθμῶν συνθέσεως⌋ τὰ τέλη φυλάττουσι τῶν ἁπλῶν. ~ ⌊B⌋CVΩΔ

σὸς ἀδελφός] *Ἡρακλῆ λέγει.* ~ B

*Θέτιν**] *λέγουσιν, ὅτι ὁ Ζεὺς ἐρασθεὶς Θέτιδος ἐδίωκε* 21

---

3 *βαρύτατος* Hemsterhuis; at cf. lin. 10. sch. De sacr. 12 || 4 *ἀκαμῆ* vel *ἀκαλλῆ* Luc. | *ἀντὶ τοῦ* om. C | *ἀκόσμητον* post *τοῦ* add. Δ || 11 *γὰρ* om. V || 12 *παραθεωρῶμεν* B text.; *παραθῶμεν* ΔV text. (V add. in mg.: *γρ᾽ δὲ καὶ παραθεωρῶμεν*) et C || 21 *τῶν* om. Δ || 24 *ὠφέλησο* Hemsterhuis || 25 *τὸ ξ ἀττ.* CV

φθεῖραι βουλόμενος. ὡς δὲ ἐγένοντο κατὰ τὸν Προμηθέα, ὁ Προμηθεὺς ἔφη πρὸς τὸν Δία ὅτι ‘ἐὰν συγγένῃ τῇ Θέτιδι, ὁ ἐξ αὐτῆς γεννώμενος ἀναιρεῖ σε, ὡς ἀνεῖλες σὺ τὸν πατέρα σου Κρόνον’. καὶ αἰσθόμενος ὁ Ζεύς, ὅτι ἀληθῆ εἶπε, τὴν μὲν Θέτιν ἔζευξε τῷ Πηλεῖ, τὸν Προμηθέα δὲ δι’ Ἡρακλέους τῆς συμφορᾶς ἔλυσεν. ~ ΓVΦΩΔ

24. Ἰκαρομένιππος ὑπερνέφελος.

Ἰκαρομένιππος ὁ προκείμενος ἐπιγέγραπται λόγος διὰ μὲν τὸ πτηνὸν ⌜εἰσάγεσθαι τὸν τῷ δράματι⌝ ὑποκείμενον εἰς Ἴκαρον τὸν Δαιδάλου ὑποφερόμενος, διὰ ⌜δὲ τὸ μεγα⌝λό- πραγμον καὶ περίεργον καὶ φασματῶδες εἰς Μένιππον τὸν Κυνικὸν φιλόσοφον ἁρμοζόμενος, ὃς Πατάρων ὑπάρχων τῆς Λυκίας καὶ τὴν Ἀντισθένους δόξαν ὑποποιούμενος γενναῖος ἦν καὶ συγκεκροτημένος τὸ σῶμα καὶ οὐκ ἀδόκιμος οὐδὲ τὴν ὄψιν ὅσα πρὸς ὥραν εὐπρόσωπον ὑποφέρεται καὶ οὕτως ὥστε, εἰ πίστις ὕπεστι Φιλοστράτῳ τῷ Τυρίῳ τὸν Ἀπολλωνίου τοῦ Τυανέως ἀναγράφοντι βίον [4, 25], καὶ ὑπὸ Ἐμπούσης ἐρασθῆναι κατὰ Κόρινθον τῆς Πελοποννήσου· καὶ ἀπὸ τούτου ἐπεὶ περιέτυχεν Ἀπολλωνίῳ τῷ προειρημένῳ γόητι ἀνθρώπῳ, ὅμοιος, φασίν, ὁμοίῳ συνήφθη καὶ τὸ τοῦ βίου λοιπὸν δυσαποσπάστως ἔσχηκε τούτου τερατείαις τε συνευκαιρῶν καὶ πρὸς μηδὲν ὑγιοῦς διανοίας τὴν σχολὴν ἀποδιατρίβων. διὸ καὶ ὁ παρὼν Λουκιανὸς φασματολογῆσαι τοῦτο δὴ τὸ σύνηθες αὐτῷ προῃρημένος καὶ ὑπερνέφελα τερατεύσασθαι συζεύγνυσι τούτῳ τὸν Ἴκαρον, λίνον λίνῳ συνάπτων, ὡς οἱ παροιμιαζόμενοι φάσκουσιν. ~ ⌜V⌝ΦΔΩ

1 σταθμός*] μονή. ~ ΓVΦΩ

---

1. 2 εἰς τὸν δία ἔφη V ‖ 2 συγγενὴς Γ ‖ 12 ἐκ πατάρων Vat. 76; at cf. sch. Menipp. 13 | immo Γαδάρων ‖ 13 κιλικίας Δ ‖ 20 φησιν φΔ ‖ 22 συγκαιρῶν VφΩ | εἰς V ‖ 25 ταῦτα ΩΔ | τὸν κτλ. om. ΩΔ

παρασάγγαι*] μέτρον ἐστὶ Περσικόν, ἔχει στάδια λ΄. τὰ δὲ ζ΄ στάδιά εἰσι μίλιον ἕν. ~ ΓΩΔ

— | ὁ παρασάγγης μέτρον ἐστὶ παρ' Αἰγυπτίοις, μεθ' οὗ μετροῦσι διὰ τὴν τοῦ Νείλου ἐπίκλυσιν τὴν γῆν, ἔχον
5 σταδίους τριάκοντα. ὁμοίως δὲ καὶ ὁ σχοῖνος ξ΄. ὁ δὲ στάδιος ἔχει πόδας χ΄. τὸ δὲ ὄνομα τὸ παρασάγγης τοῦτο εὕρηται πολλάκις ἐν τῇ Ἀναβάσει τοῦ Κύρου. ~ Δ

— | μέτρον Περσικὸν ὁ παρασάγγης, ὁδοῦ στάδιοι λ΄. τὸ δὲ στάδιον ὀργυιαὶ ρ΄, ὥσπερ καὶ τὸ πλέθρον ποδῶν ἑκα-
10 τόν. τὸ δὲ μίλιον στάδια ζ΄· τινὲς δὲ τῶν ἀρχαιοτέρων δέκα βούλονται σταδίων τὸ μίλιον εἶναι· Στράβων δὲ ὁ γεωγράφος [VII 7, 4 p. 322] η΄, ἄλλοι δὲ ξς΄. ~ ΥΦΩ

ὑποξενίζοντας*] ξένως καὶ ἀγνώστως διαλεγομένους. ~ ΓΥΩΔ

15 λογίζομαι*] ἀριθμῶ. ~ ΓΩΔ

ὅλους*] ὁλοκλήρους. ~ ΓΥΩ

διοπετὴς πάρεστιν ἐξ οὐρανοῦ*] ἀπὸ τοῦ οὐρανοῦ πεσών. ~ ΓΥΩ 2

πέρα* πίστεως] ὑπὲρ τὴν πίστιν. ~ ΓΥΦΩ

20 Φρυγί*] ὁ Γανυμήδης ἦν Φρὺξ μειρακίσκος εὐπρεπής. τούτου ἡράσθη ὁ Ζεὺς καὶ μεταβληθεὶς εἰς ἀετὸν ἥρπασεν αὐτὸν πιγκέρνην. ~ ΓΥΦΩ. Addit V (om. πιγκ.): καὶ ἐποίησεν αὐτὸν οἰνοχόον. ~

— | ὁ 1΄. — ἥρπασε καὶ πεποίηκε πιγκέρνην ἀναγαγὼν ἐν
25 τῷ οὐρανῷ. ~ Δ

προσφερές*] ὅμοιον. ~ ΓΥ

ἄνοδον οὔτε κτλ.] ὡραῖον. ~ Γ

παιδικά*] ἐρώμενον. ΓΥφ

Ἰκάριον*] ὁ Ἴκαρος υἱὸς ἦν τοῦ Δαιδάλου. ὅτε οὖν ἐπέ- 3
30 τοντο αὐτὸς καὶ ὁ πατήρ, ὡς παῖς ὁ Ἴκαρος ἀνελθὼν εἰς

1 ἔχον Δ; ὅ ἐστι Phot. et sch. De hist. conscr. 24 ‖ 3. 4 fort. δι' οὗ μετροῦσι μετὰ | ἔχων Δ ‖ 9 ὥσπερ κτλ. om. φ | καὶ om. Ω ‖ 13 ὑποξενίζοντας text. ΓΥ; ὑποξενίζοντος Δ | ξένους — ἀγνώστους codd.; cr. Iacobitz ‖ 15 ἀριθμῶν Γ ‖ 22 πανηκέρνην Γ ‖ 29 τότε Γφ

ὕψος τοῦ κηροῦ λυθέντος τῶν πτερῶν εἰς τὴν θάλασσαν ἔπεσε καὶ ἀπ' αὐτοῦ ἐκλήθη Ἰκάριον πέλαγος. ~ ΓVΦΩΔ. Addit Δ: διὰ τὸ ἐν τῷ τοιούτῳ πελάγει τὸν Ἴκαρον ἀποπνιγῆναι. ~

—] ὁ γὰρ Δαίδαλος μικρὸν ἐπετάσθη διάστημα, οὗτος δὲ καὶ εἰς αὐτὸν ἔφη ἀναβεβηκέναι τὸν οὐρανόν. ~ ΓVΩΔ

τὰ ὠκύπτερα*] τὰ ἄκρα τῶν πτερῶν τὰ εἰς ὀξὺ καταλήγοντα. ~ ΓVΦΩΔ

αὐταῖς ὠλέναις*] σὺν αὐταῖς ὠλέναις. ὠλένας δὲ λέγουσι καὶ τοὺς ὤμους. ~ ΓVΦΩΔ

4 ἀστεῖον*] ἡδύ. ~ ΓΔ

τὰ κατὰ τὸν βίον γελοῖα κτλ.] σχόλιον Βασιλείου Ἀδάδων. τὰ περὶ τὸν βίον, ὦ Λουκιανέ, ὀρθῶς καὶ ἀληθῶς εἴρηκας στηλιτεύσας τὸ ἄστατον αὐτοῦ καὶ ἀνώμαλον, οὐ μὴν καὶ τὰ περὶ τοῦ κόσμου καὶ τῆς τούτου κατασκευῆς· ἄθεος γὰρ ὢν καλῶς ἀγνοεῖς τὸν πεποιηκότα καὶ τὴν αἰτίαν τῆς παρεισάξεως αὐτοῦ. ~ Δ

τὴν αἰτίαν ἔχειν κτλ.] ὡραῖον. ~ ΓV

διάξασα*] ὁρμήσασα. ~ ΓVΔ

ἀτέκμαρτα*] ἄδηλα. ~ ΓVΔ

5 ἐνῆν*] δυνατόν. ~ ΓVΔ

ὑψαγόραι*] ὑψηλὰ λέγοντες. ~ ΓVφ

οὐρανογνώμονες*] οὐράνια φρονοῦντες. ~ ΓVφ

μετεωρολέσχης*] περὶ τῶν οὐρανίων φιλοσοφῶν. ~ ΓVφΔ

ἐδέησαν*] οὐκ ἴσχυσαν. ~ ΓVΔ

6 τερατουργίαν*] ματαιολογίαν. ~ ΓVΔ

χαμαὶ* ἐρχομένων] ἀνθρώπων. ~ ΓV

7 ἄγνωμον*] ἀνόητον. ~ ΓVΦΔ

---

5 coni. cum sch. p. 99, 29 (ὁ δαίδ. δὲ) V ‖ 5. 6 ἀλλ' οὗτος αὐτὸν καὶ V ‖ 9 σὺν — ὠλέναις et δὲ om. ΩΔ | fort. σὺν αὐταῖς ⟨ταῖς⟩, cf. scholion p. 108, 28 ‖ 21 ὡς δυνατόν V et (add. ἦν) Δ ‖ 22. 23 coni. V (οὐρανογ. δὲ) ‖ 24 fort. φλυαρῶν, cf. Phot.: μ. περὶ οὐρανοῦ φλυαροῦντες ‖ 25 ἀντὶ τοῦ ο. ἴ V Δ ‖ 27 ἀντὶ τῶν ἀ. V

μύδρον* — τὸν ἥλιον] σίδηρον πεπυρωμένον. ~ ΓVΦUΩΔ. Addunt UΩ: τοῦτο δὲ εἶπεν ὁ Ἀναξαγόρας ἐπὶ τοῦ ἡλίου· διὸ καὶ οἱ Ἀθηναῖοι ἀνελεῖν ἐπεχείρησαν ὡς ἀσεβήσαντα, εἰ μὴ ὁ φίλος Περικλῆς αὐτὸν ὑπερησπίσατο. ~

εἰ ἐν γειτόνων* ἐστί] εἰ γειτονοῦσιν ἀλλήλοις καὶ πλη- 8
σιάζουσιν. ~ ΓVΦΩΔ

οἱ δὲ κτλ.] ὅρα τὴν Λουκιανοῦ ἀθεότητα. ~ ΓVΦUΔ, cf. φ

ἐτεκταίνετο*] κατεσκεύαζεν. ~ ΓV

περί τε ἰδεῶν] εἰς Πλάτωνα καὶ Ἀριστοτέλην αἰνίττεται. ~ ΓVΦΩΔ

πέρατός τε καὶ ἀπείρου*] δύο γὰρ ταῦτα, τὸ πέρας τε καὶ τὴν ἀπειρίαν, αἴτια εἶναί φασιν οἱ μαθηματικοὶ τῆς τοῦ παντὸς γενέσεως, τοῦ πέρατος μὲν εἰδοποιοῦντος καὶ ἐπὶ στάσιν ἄγοντος τὰ γινόμενα καὶ περιορίζοντος, τῆς δὲ ἀπειρίας ὁδὸν τῇ γενέσει ἐνδιδούσης καὶ ἀναζωπυρούσης τὸ ἤδη πρὸς παῦλαν ἀποκλινόμενον καὶ κεκμηκὸς τῶν γινομένων τῇ ἀσθενείᾳ τῆς ὕλης καὶ βίου πάλιν ἄλλου σπέρματα παρεχομένης τῷ ἐνδελεχεῖ τῆς διαδοχῆς καὶ ἀπεράντῳ τῆς κινήσεως. ~ ΓVΔ

παμπόλλους τινὰς εἶναι τοὺς κόσμους] Δημόκριτον διαπαίζει. ~ ΓφΩΔ

ἕτερος — πόλεμον τῶν ὅλων πατέρα] Ἐμπεδοκλέα μωκᾶται. ~ ΓΦΩΔ. Addunt φΔ: διὰ τὸ νεῖκος. ~

ἀριθμός τις ὁ θεός] Πυθαγόραν λέγει. ~ ΓVΦΩΔ 9

κατὰ κυνῶν — ἐπώμυνυντο] Σωκράτην φησίν. ~ ΓVΦΩΔ

ἑνὶ μόνῳ τὴν τῶν ὅλων ἀρχήν] εἰς Μωσέα ἀποτείνεται τάχα. ~ ΓVΦΩΔ. Addit φ: ὁ ἐπίτριπτος. ~

τὸν μέν τινα πρῶτον θεόν] Ἀριστοτέλην διαγελᾷ. ~ ΓVΦΩΔ

οἱ μὲν ἀσώματόν τι] τὸν Πλάτωνα· καὶ γὰρ αὐτὸς τὸν

---

1 cf. sch. p. 106, 9 ‖ 8 κατεσκευάζου Γ ‖ 9 αἰν. καὶ ἀρ. V ‖ 17 ἡνωμένων Δ ‖ 17. 18 ἄλλο σπέρμα Δ ‖ 18 τῷ — 19 κινήσεως om. Δ ‖ 30 τὸν (prius) om. Δ | πλάτ. λέγει Laur. 32, 13

θεὸν καὶ τὴν ὕλην ἀσώματον ἔφασκεν ἐξ ἀναλογίας τοῦτο κατασκευάζων. ~ VΦΔ

οἱ δὲ ὡς περὶ σώματος] τοὺς Στωικοὺς λέγει. ~ ΓΦΩΔ

προνοεῖν — οὐ πᾶσιν ἐδόκουν οἱ θεοί] Ἐπικουρείους φησί. ~ ΓVΦΩΔ. Addit Ω: καὶ αὐτὸς τοιοῦτος ὤν. ~

παρηβηκότας*] γεγηρακότας. ~ ΓV

δορυφορήμασιν*] δορυφορήματα καλεῖται παρὰ τοῖς κωμικοῖς τὰ κωφὰ πρόσωπα, ἅτινα συνεξέρχεται μὲν τοῖς κωμῳδοῦσιν, αὐτὰ δὲ οὐδὲν διαλέγεται, καθάπερ οἱ δοῦλοι. ~ ΓCVφΩΔ

ἔνιοι δὲ κτλ.] διασύρας ταῦτά φησιν. ~ Δ

10 ὑψιβρεμέταις*] ἐν ὕψει βροντῶσιν, ὅ ἐστιν ὑπερηφάνοις. ~ ΓVφ

ἠυγενείοις*] τοῖς καλὰ γένεια ἔχουσιν. ~ Γ

ἀτεχνῶς*] πάνυ. ~ ΓV

θυμός*] λογισμός. ~ ΓV

ὁ λογοποιὸς* Αἴσωπος κτλ.] ὁ μυθοποιός· πλάττει δὲ μῦθον, ἐν ᾧ τὴν κάμηλον εἰσάγει διαλεγομένην τῷ Διί. ~ ΓVφΩΔ

τελαμῶσι*] λώροις. ~ Γ

λαβάς*] κρατήματα. ~ ΓVφ

τὸ χρῆμα*] τὸ πρᾶγμα. ~ Γ

11 ἀπὸ Πάρνηθος* κτλ.] ὄρη τῆς Ἀττικῆς. ~ ΓVΩΔ

ὑπὲρ* Φολόης κτλ.] ταῦτα Πελοποννήσου ὄρη τῆς Ἀργολικῆς μοίρας. τὸ Ταΰγετον δὲ τῆς Λακωνικῆς ἐν δεξιᾷ τῆς Σπάρτης. ~ VφΩΔ

Ὄλυμπον*] τὸν Μακεδονικὸν Ὄλυμπον λέγει, ὃς ἐπ' ἀριστερᾷ τοῦ Πηνειοῦ καὶ τῶν Θεσσαλικῶν ἐστι Τεμπῶν, ὄρος ὑψηλὸν καὶ μέγα καὶ μέχρι Πέλλης παρατεῖνον. ~ VφΩΔ

---

1 ἀσώματα Δ | ταὐ (= ταύτην) V; ταῦτα Φ ‖ 7 τοῖς παλαιοῖς κωμ. C ‖ 9 αὐτὰ — διαλ. om., οὐδὲ μὴ κελευόμενοι λέγουσιν post δοῦλοι add. Δ ‖ 11 fort. ἑαυτὸν διασ. ‖ 20 λώροις Vat. 86, Laur. 32, 13; λώροισι Γ ‖ 23 ὄρη μικρὰ ἐν τ. Ἀ. Δ

κάμνοντος*] κοπουμένου. ~ ΓV

τῶν ἱπποπόλων*] τῶν περὶ τοὺς ἵππους ἀναστρεφομένων. ~ ΓVφ

Ῥόδιον κολοσσὸν κτλ.] ὁ μὲν κολοσσὸς Ῥόδιος ἀνδριὰς 12
ἦν χαλκοῦς Ἡλίῳ ἀνακείμενος, καθότι καὶ αὐτὴ ἡ νῆσος Ἡλίῳ ἀνεῖτο, ἑξήκοντα μὲν πηχῶν τὸ ὕψος, ἔργον δὲ Λυσίππου τοῦ ἀγαλματοποιοῦ. ὁ δὲ ἐπὶ τῇ Φάρῳ πύργος πρὸς τῇ ἐπὶ Πηλουσίῳ Αἰγύπτου Ἀλεξανδρείᾳ ᾠκοδόμηται, τετράγωνος, σταδιαῖος τὴν πλευράν, ἐπὶ πολὺ τοῦ ἀέρος ἀνέχων ὡς ἀπὸ ἑκατὸν ὁρᾶσθαι μιλίων. ἀνεστάθη δὲ τοιοῦτος, ἵν' ᾖ ἡμέρας μὲν σημεῖον τοῖς πλέουσιν, νυκτὸς δὲ πυρσός, πρὸς ὃν οἱ πλέοντες ἀπευθυνόμενοι μὴ ἔχοιεν ἐμπίπτοντες τοῖς τοῦ Παραιτονίου ἔρμασι διαφθείρεσθαι. γέγονε δὲ προστάγματι μὲν Ἀλεξάνδρου τοῦ Φιλίππου καὶ Ὀλυμπιάδος, ἀρχιτεκτονήσαντος δὲ Σωστράτου τοῦ Κνιδίου, ὃς καὶ ἐπέγραψε τῷ πύργῳ ἐπὶ τῶν λίθων "Σώστρατος Δεξιφάνους Κνίδιος θεοῖς σωτῆρσιν ὑπὲρ τῶν πλωιζομένων" [cf. Luc. De hist. conscr. 62]. ~ ΓV]φΔ

καθάπερ ὁ Λυγκεύς: οὗτος λέγεται ὀξυδερκέστατος εἶναι, ὥστε καὶ τὰ ὑπὸ γῆν βλέπειν. ~ ΓVΩΔ

πλέως*] ἀνάπλεως. ~ ΓV 13

καπνοδόχης*] καλῶς εἶπεν ἐπὶ τῆς καπνοδόκης· ὡς ἀπολομένῳ διὰ πυρός. ~ ΓVΦΩΔ

μὰ τὸν Ἐνδυμίωνα*] τοῦ Ἐνδυμίωνος ἐρασθεῖσα ἡ Σελήνη συνῆν αὐτῷ καὶ διὰ τοῦτο Ἐμπεδοκλῆς ὡς περὶ τὴν σελήνην διάγων κατὰ τοῦ Ἐνδυμίωνος ὕμνυσιν. ~ ΓVΦΩΔ

μισθοῦ χάριν] φιλοκερδὴς ὁ γραφεύς. ~ Δ

ἀτάρ*] ἀλλὰ δή. ~ ΓV

λημᾶν*] ὀφθαλμιᾶν· λήμη γὰρ ὁ συναγόμενος ἐν τῷ ὀφ- 14

---

6 cf. sch. Amor. 7, Ver. hist. I 18 ‖ 9 σταδ. καὶ πλευρὰν Δ ‖ 15 τοῦ om. Δ ‖ 19. 20 λέγ. οὕτως ἦν ὀξ. ὥστε V | cf. sch. Dial. mort. IX 1 ‖ 22 in textu καπνοδόχης ΓV ‖ 29 cf. sch. Iov. trag. 10 | λῆμα Γ | ἐν om. Γ

θαλμῷ ῥύπος. ~ ΓVΔ. Addit Δ: ὃν καὶ τζίμπλαν φασὶν οἱ ἀγροικικώτεροι. ~

παρὰ* σοί] ἐν σοί ἐστι, φησί, τὸν ἕνα ὀφθαλμὸν βασιλικὸν κτήσασθαι. ~ ΓVΩΔ

κατ' ὀλίγον ὑπαπιών*] κατὰ μικρὸν ἀπερχόμενος. ~ ΓVΔ

15 Πτολεμαῖον*] Πτολεμαῖος ὁ ἐπίκλην Φιλάδελφος Στρατονίκην τὴν ἰδίαν ἀδελφὴν εἶχε γυναῖκα. ~ ΓVΦΩΔ

Λυσιμάχῳ*] ὁ Λυσίμαχος εἷς ἦν τῶν Ἀλεξάνδρου διαδόχων. οὗτος Ἀγαθοκλέα τὸν υἱὸν διαβληθέντα ἐπιβουλεύειν αὐτῷ ἀπέκτεινεν. ~ ΓVΦUΩΔ

κατηλοημένος*] διατεθρυμμένος, τεθερισμένος. ~ ΓVφΩ —] συντετριμμένος· ἁλοᾶν γὰρ τὸ συντρίβειν ἢ τύπτειν. ~ VφΩΔ. Addit Δ: ἀφ' οὗ καὶ πατραλοίας. ~

16 χαμαιτυπείῳ*] πορνείῳ. ~ ΓV

τερπωλήν*] τέρψιν. ~ ΓV

ἔργον*] δυσχερές. ~ ΓVΩΔ

εἰλαπίναι*] εὐωχίαι, ἄριστοι. ~ ΓV

ἐν γειτόνων* κτλ.] ἑκάστου ἔθνους ἐπιτήδευμα λέγει. ~ ΔV

τὴν Γετικήν*] τὴν τῶν Γετῶν χώραν. οἱ δὲ Γέται ἔθνος βάρβαρον. ~ ΓVUΩΔ. Addunt VUΩΔ: καὶ ἰσχυρόν, ὃ Ῥωμαίων κατεξαναστὰν καὶ μέχρι φόρου ἀπαγωγῆς ταπεινῶσαν Ῥωμαίους ὑπὸ Τραϊανοῦ ὕστερον οὕτως ἐξωλοθρεύθη Δεκεβάλῳ χρώμενον βασιλεῖ, ὥστε τὸ πᾶν ἔθνος εἰς τεσσαράκοντα περιστῆναι ἄνδρας. ~ Addit Δ: ὡς ἱστορεῖ Κρίτων ἐν τοῖς Γετικοῖς [om. Müller F. H. G.]. ~

17 κυκεών ἐστι πόμα ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος συγκείμενον. ἐπειδὴ οὖν ἀπὸ πολλῶν λέγει

---

1 τζίμβλαν Vat. 76, cf. sch. Arist. Plut. 581 ‖ 5 ἐπερχόμενος Γ ‖ sch. 6—10 coni. (λυσίμ. δὲ) V ‖ 10 αὐτὸν VΦΓ1; cr. UΓ m 3 ‖ 16 in textu ⌞Π litt. er. ⌟ἔργον Γ ‖ 17 ἄριστοι sic ΓV; ἄριστα edit. ‖ 22 οὕτως et 23 Δεκεβάλῳ κτλ. om. UΩ ‖ 24 post ἄνδρας annexum sch. 18 (ἑκάστου δὲ) V ‖ 26 πόμα ἐστὶν V | ἀλφίτου Γ1V; cr. Γ3Δ, cf. sch. in Plat. Reip. III 408 B (ubi καὶ τυροῦ post ἀλφ. add.) ‖ 27 ἀπόλλων Γ1V; cr. Γ3Δ (ἐκ πολλῶν post λέγει add. V)

συγκεῖσθαι τὸν βίον, διὰ τοῦτο αὐτὸν κυκεῶνα ἐκάλεσεν. ~ ΓVΩΔ

καὶ μὴν — ἦν τὰ γινόμενα] *ὡραῖον ὅλον.* ~ Δ

*ἀπῳδά**] *ἔξω τῆς ᾠδῆς.* ~ ΓVΔ

*γελοῖα**] *γέλοιος γελοίου διαφέρει· γέλοιος μὲν γὰρ ὁ γέλωτος ἄξιος, γελοῖος δὲ ὁ γελωτοποιός.* ~ Δ

*Σικυώνιον**] *Σικυὼν πόλις ἐστὶ πλησίον Κορίνθου.* ~ ΓVφΩΔ 18

*Μαραθῶνος**] *ὅλοι οὗτοι τόποι εἰσὶ τῆς Ἀττικῆς.* ~ Γ

*Οἰνόην**] *ἡ Οἰνόη περὶ Μαραθῶνα.* ~ ΔVφΩ. Addunt VφΩ: *Ἀχαρνῆσι δὲ ὡς Ἀθήνησιν· καὶ γὰρ Ἀχαρναὶ ὡς Ἀθῆναι.* ~

Κυνοσουρίαν] *ἠμφισβήτουν ἀλλήλοις Λακεδαιμόνιοι καὶ Ἀργεῖοι καὶ ἔδοξεν ὡς τετρακοσίους ἀφ' ἑκατέρου πλευροῦ μάχεσθαι καὶ τοῦ νικῶντος εἶναι τὴν χώραν. μαχομένων δὲ αὐτῶν πλὴν τριῶν, δύο Ἀργείων καὶ ἑνὸς Λακεδαιμονίου, πάντες ἀπώλοντο.* ~ ΓCVφΩΔ. Addunt CVφΩΔ: *εἶτα δοξάντων Ἀργείων νενικηκέναι καὶ διὰ τοῦτο ἀνακεχωρηκότων ὁ Λακεδαιμόνιος ἐπὶ χώρας μείνας τὸ νενικηκέναι ἐκρίθη, Ἀργείων ὡς φυγόντων κατακριθέντων.* ~

*φακοῦ**] *φακὸς ὁ ὠμός, φακῆ δὲ ἡ ἑψηθεῖσα.* ~ ΓVφΩΔ

τὸ Πάγγαιον ὄρος περὶ Φιλίππους ἐστὶ τῆς Μακεδονίας χρυσοῦ μέταλλα ἔχον. ~ CVφΔ

*θεῖ**] *τρέχει.* ~ Γ 19

*ταῖς μυρμηκιαῖς**] *τοῖς τῶν μυρμήκων τόποις.* ~ ΓVΔ

*Μυρμιδόνας**] *ὁ Αἰακὸς τοῦ Διὸς ἦν υἱὸς καὶ ἐβασίλευσεν. λέγεται οὖν, ὅτι θεωρῶν τὴν αὐτοῦ χώραν ὀλίγ-*

---

5 *γέλ. καὶ γελοῖος διαφ. κτλ.* Ammon.; sed *γέλοιος γελοίου ταύτη διαφ. κτλ.* Arethas in Dion. Chrys. XXXII 1 (p. 116 Sonny) || 7 *κορ. πλησ.* VΔ || 10 *παρὰ* Δ, cf. Bachmann, Anecd. Paris. II 372, 8 || 13 *περὶ τῆς κυνοσουρίας γῆς* ante *ἠμφισβ.* add. VφΩ | *γῆς* post *ἀλλήλοις* add. Δ || 16. 17 *πάντ. ἀπ. δύο ἀργ. κ. ἑν. λακ.* $^{\beta}$ codd.; sed *πάντες* — $^{\alpha}$*πλὴν* Γ || 21 cf. sch. Soloec. c. 7 || 23 *μέταλλον* C || 27 p. 106, 1 *ὀλιγανδροῦσαν* V

ανδρον οὖσαν ἠΰξατο τῷ Διί· ὁ δὲ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε καὶ διὰ τοῦτο Μυρμιδόνες κέκληνται. ~ ΓVφΩΔ

αἰγιόχοιο* Διός] λέγεται ὁ Ζεὺς ὑπὸ αἰγὸς τραφῆναι καὶ διὰ τοῦτο δέρμα τῆς αἰγὸς ἀντὶ ἀσπίδος βαστάζει. αἰγίοχος οὖν ὁ αἰγίδα κατέχων. ~ ΓV

βαρὺ* κτλ.] οὐδὲν βαρὺ τὸ διακονῆσαί σοι, ἐὰν μὴ χρεία ἐστὶ βαστάξαι τί ποτε. ~ ΓVΩΔ

περὶ — τοῦ ἡλίου λίθον* αὐτὸν εἶναι] Ἀναξαγόρας ταῦτα λέγει ὁ φυσικός. ~ ΔVφΩ

ἀποκαλύψαι κτλ.] ὡραῖον. ~ ΓV

τὸν ἐπὶ σκηνῆς* ἑκάστου βίον] τὴν ἑκάστου κατοικίαν λέγει, εἰ μὴ δριμέως καὶ τοῦτο λέγει δραματουργῶν ὡς ἐπὶ σκηνῆς ἑκάστου τῶν ἀνθρώπων διαβιοῦντος, ἅτε ἄλλου μὲν ὄντος, ἄλλου δὲ ἀξιοῦντος δοκεῖν. ~ ΔVφΩ

ἵνα*] τοπικὸν τοῦτο, ἀντὶ τοῦ ὅπου. ~ VφΩΔ

φυσικοὺς ἐκεῖνος κτλ.] ὡραῖον. ~ Γ

ὁ δὲ Ζεὺς κτλ.] ὡραῖον. ~ ΓV

τιτανῶδες*] καταπληκτικὸν καὶ φοβερόν, ἀπὸ τῶν Τιτάνων· Τιτᾶνες δὲ οἱ παλαιοὶ θεοί. ~ ΓVφΩΔ

ἐμβεβροντημένος*] ἐξηχωθείς. ~ Γφ Δ

ἀπαγορεύσαιμι*] ἀτονήσαιμι. ~ ΓVΔ

διασπώμενος* ὑπὸ τῶν λόγων] ὑπὸ διαφόρων δοξῶν ἀνθελκόμενος. ~ ΓVφΩΔ

ὑπανείς: ὑποχαλάσας. ~ φΔ

Ὄτου* πέρι καὶ Ἐφιάλτου] Ὄτος καὶ Ἐφιάλτης ἠθέλησαν θεομάχοι ὄντες εἰς τὸν οὐρανὸν ἀνελθεῖν καὶ δὴ ὄρη ἐπάνω ἀλλήλων βάλλοντες ἀνέβαινον, ἕως ὅτε τούτους ὁ Ἀπόλλων ἐτόξευσεν. καὶ ὁ μὲν μῦθος οὗτος. ἡ μέντοι ἀλληγορία· Ὄτος καὶ Ἐφιάλτης φυσικοὶ φιλόσοφοι Θεσσα-

---

5 fort. βαστάζειν ‖ 7 εἰ et 8 ἔσται V ‖ 8 ποτε om. VΩ 21 sic ΓΔ; γρ. ἐξηχηθείς φ ‖ 22 ἠτόνησα Γ ‖ 27 καὶ κτλ. om. V ‖ 28 βαλόντες φΔ, cf. Bachmann, Anecd. Paris. II 372, 14 ‖ 29 καὶ κτλ. om. Ω ‖ καὶ — οὗτος om. Γ ‖ 30 sq. cf. sch. Char. 3

λοὶ Ἀλωέως παῖδες πρῶτοι ἀναμετρεῖν ἐπειράθησαν τὰ διαστήματα σελήνης ἀπὸ τῆς γῆς καὶ ἡλίου ἀπὸ σελήνης. καὶ ἐπεὶ τοῦτο ἀπὸ ὀπτικῆς συμβαίνει ἐπιστήμης, αὕτη δὲ ἐξ ἀναλογίας θηρᾷ τοῦτο καὶ ἀπὸ σκιᾶς τῆς ἀπὸ τῶν ὑψηλῶν ὀρῶν ἡλίου ἀνίσχοντος ἀπορρεούσης, τοιαῦτα δὲ κατὰ Θετταλίαν ὑψηλότατα ὄρη ἥ Ὄσσα, τὸ Πήλιον, ὁ Ὄλυμπος, ἀφ' ὧν τῆς σκιᾶς ἐδόκουν ἀναλογίαν τινὰ τῆς ἀναμετρήσεως λαμβάνειν, καὶ δὴ πρὸς τοῖς ἀκρωτηρίοις γενόμενοι τῶν ὀρῶν τούτων ἐπὶ τῷ ἀναλογίζεσθαι τὴν σκιὰν κατακρημνισθέντες ἀπώλοντο, κατεφήμισαν τοῦτο, ὡς τὰ ὄρη ταῦτα συντιθέντες, ὡς ἀναβατὸν ποιήσαιεν τὸν οὐρανόν, κατετοξεύθησαν ὑπὸ τοῦ Ἀπόλλωνος ἤτοι τοῦ ἡλίου. ~ ΓVφΩΔ. Addit Δ: ὡς ἱστορεῖ Δημώ. ~ χρηματίσαντες*] διοικήσαντες. ~ ΓVΔ

Διάσια: ἑορτὴ Ἀθήνησιν, ἣν ἐπετέλουν μετά τινος στυγνότητος θύοντες ἐν αὐτῇ Διὶ Μειλιχίῳ. τὸ δὲ Ὀλύμπιον, ὅπερ ἐστὶν ἱερὸν τοῦ Ὀλυμπίου Διὸς ἐν Ἀθήναις, διὰ μεγαλουργίαν ἀπορούντων Ἀθηναίων χρημάτων εἰς τὴν κατασκευὴν πλεῖον τῶν τ' ἐτῶν παρέτεινε κτιζόμενον, ὡς καὶ ὁ ἐν Κυζίκῳ νεώς, καὶ οὐκ ἂν συνετελέσθησαν ἄμφω, εἰ μὴ Ἀδριανὸς ὁ αὐτοκράτωρ Ῥωμαίοις δημοσίοις ἀναλώμασι συναντελάβετο τῶν ἔργων. ~ CVφUΩΔ Ὀλύμπιον*] ἱερὸν τοῦ Ὀλυμπίου Διός. ~ Γ ἐν Δωδώνῃ*] Δωδώνη πόλις ἐστὶ Θετταλίας, ἐν ᾗ ἱερὸν τοῦ Διὸς καὶ μαντεῖον. ~ ΓVΔ. Addit Δ: ὡσαύτως καὶ Πῖσα πόλις ἐν Ἤλιδι τῆς Πελοποννήσου, ἐν ᾗ ἱερὸν Ὀλυμπίου Διὸς καὶ ἀγὼν πενταετηρικός, ⟨ὃς⟩ Ὀλύμπια 24

---

2 ἀποστήματα φΔ, cf. Anecd. Bachm., Vat. 942 | ἀπὸ τῆς σελ. Δ ‖ 3 ἐπειδὴ Anecd. Bachm. | τῆς ὀπτ. φΔ Vat. 942 | 4 τῆς σκιᾶς φΔ Vat. 942 ‖ 5 et 9 ὀρέων φΔ Vat. 942 ‖ 6 τὰ κατὰ Anecd. Bachm. ‖ 7 δι' ἀναλ. Γ ‖ 9 γινόμενοι Δ Vat. 942 τούτων τοῦ ἀν. φΔ Anecd. Bachm. ‖ 10 fort. κατεφημίσθησαν ‖ 15 ἣν ἀθηναίων C | ἐν ἀθήνησιν Δ | ἐτέλουν C ‖ 16 ἐν αὐτῇ om. sch. Timon. 7 | τὸ κτλ. om. Δ | ὀλύμπειον V ‖ 17 ὅπερ — Διὸς om. C ‖ 22 τῶν om. C ‖ 23 ὀλύμπειον Γ text.

ἐκαλεῖτο, οὗ κατήρξατο ὁ Ἡρακλῆς, καθά φησι Πίνδαρος [Ol. 2, 5] ‘Ὀλύμπια δ’ ἔστησεν Ἡρακλῆς’. ~
παίζεις ἔχων*] τὸ ἔχων φράσεως ἕνεκα κεῖται μηδὲν σημαῖνον. ~ ΓVΩΔ
τὸ δὲ φιλόκαινον* αὐτῶν] ὅτι ἀεὶ φιλοῦσι τὰ ξένα. ~ ΓVΩ
Πῖσα*] ἔνθα ἐτελεῖτο τὰ Ὀλύμπια πρὸς τιμὴν τοῦ Διός. ~ ΓV
τοιγαροῦν* κτλ.] ἐπεὶ καὶ οἱ Πλάτωνος νόμοι ἐν γράμμασι μόνοις καὶ ἡ πολιτεία ἐν πλάσμασι λόγων, ὡσαύτως καὶ οἱ Χρυσίππου συλλογισμοὶ σοφισματώδεις ὄντες καὶ οὐδὲν ἧττον τῶν Πλάτωνος νόμων τὸ χρειῶδες ἐπιφαίνοντες ἀργοὶ κεῖνται καὶ ἀνεπίσκεπτοι μηδενὸς ἀνθρώπων μεταχειρίζεσθαι προθυμουμένου τούτους διὰ τὸ ἀνωφελές τε καὶ ἄκαρπον. ~ VφΔ
25 ἀκριβῶς ἐξετάζων κτλ.] ὡραῖον. ~ ΓV
Ἀκαδημαϊκόν* — Πύρρων] οὐκ ἀκριβῶς τὴν Ἀκαδημίαν τοῖς Πυρρωνείοις ἤτοι Ἐφεκτικοῖς ἀπονέμεις, Λουκιανέ· ἀντιδιαστέλλονται γὰρ τούτοις οἱ ἐξ Ἀκαδημίας, ὡς αὐτῶν ἔστιν ἐκείνων τῶν Πυρρωνείων ἀκοῦσαι ἐν ταῖς Ὑποτυπώσεσιν. ἔπασχον γοῦν τοῦτο ὑπὸ τῆς ἰσοσθενείας τῶν ἀντιπάλων λόγων οὐκ ἔχοντες, ὁποτέρῳ παράσχοιεν αὐτοὺς εἰς συγκατάθεσιν. ~ VΓφΩΔ
27 μετοίκους] ἐξ ἀνθρώπων γὰρ οὗτοι θεοὶ ἐνομίσθησαν. ~ VφΩΔ
Ὅμηρός που λέγει* κτλ.] ὦ βωμολόχε καὶ ψωμοκόλαξ· ὥσπερ Ὅμηρος, οὕτω καὶ Μένιππος τὰ οὐράνια εἶδε, καὶ ὡς Μένιππος, οὕτω καὶ σύ, ὁ Λουκιανός. ~ VΩΔ
αὐτῇ κνίσῃ*] σὺν αὐτῷ τῷ λίπει. ~ ΓVφ
κόρδακα*] κόρδαξ ἐστὶν ἡ μετὰ μέθης ὄρχησις. ~ ΓVφΩΔ

---

2 cf. sch. Rhet. praec. 9 ‖ 3 et 5 coni. (φιλόκ. δὲ εἶπεν ὅτι) V ‖ 7 cf. p. 107, 26 ‖ 9 καὶ λόγοις Δ ‖ 13 προχειρίζεσθαι Δ ‖ 16 cf. sch. Ver. hist. II 18 ‖ 19 cf. Sext. Emp., Hyp. Pyrrh. 1, 1 ‖ 21 ὁποτέροις Δ ‖ 27 ὁ λουκιανός Δ; λουκιανέ Ω; om. V

πρώτην ὠδὴν — Πινδάρου] *τὸ "ἄριστον μὲν ὕδωρ"* [Ol. 1, 1]. ~ VφΩΔ

*ὑποβεβρεγμένος**] *ἀντὶ τοῦ μεθύων.* ~ VΔ

κατέδραθον] *κατεκοιμήθην.* ~ Δ 28

5 *ὑπόμορον**] *δυσθανές.* ~ ΓVΩΔ 29

*τετυφωμένον**] *ὑπερήφανον.* ~ ΓVΩΔ

Περιπατητικοὺς κτλ.] *ὡραῖον.* ~ ΓV

*ἦν ἔρῃ**] *ἂν ἐρωτήσῃς.* ~ ΓVΔ 31

*Μῶμος**] *τοῦτον τὸν Μῶμον ὁ Λουκιανὸς θεὸν ὑποτί-*

10 *θεται μεμφόμενον τὰ ὑπὸ τῶν θεῶν γινόμενα.* ~ Δ

*διετεθρύλλητο**] *θορύβου καὶ ταραχῆς ἐπληροῦτο.* ~ ΓVφ 33

*τὴν ἐκεχειρίαν**] *τὴν πρὸς ὀλίγον εἰρήνην.* ~ ΓVφΔ

ἐς νέωτα] *εἰς τὸ ἑξῆς.* ~ ΓVφΩΔ. Addunt VφΩΔ: *ἤτοι τὸ ἐπερχόμενον ἔτος.* ~ Addit Δ: *ἔστι δὲ χρόνου*

15 *δηλωτικὸν ἐπίρρημα τοῦ μέλλοντος· τοῦ μὲν γὰρ παρῳχημένου δηλωτικὸν τὸ πέρυσι, τοῦ δὲ ἐνεστῶτος τὸ τῆτες, τοῦ δὲ μέλλοντος ἐς νέωτα.* ~

περὶ δὲ τοῦ Μενίππου κτλ.*] *καὶ τί τὸ κωλῦον καὶ* 34

αὖθις ἀναλαβόντα ἀετοῦ πτέρυγας καὶ γυπῶν ἀναπτῆναι

20 *ταύταις καὶ πάλιν;* ~ Δ

*ὁ Κυλλήνιος**] *ὁ Ἑρμῆς ὁ ἐν Κυλλήνῃ τιμώμενος.* ~ ΓVΩΔ

25. *Τίμων.*

καπνὸς ἀτεχνῶς ποιητικὸς κτλ.*] *ἀντὶ τοῦ οὐδέν, εἰ* 1

μὴ μόνον ψόφος ποιητικῶν ὀνομάτων. ~ ΓVMΩΔ

25 *θερμουργός: ὁ παρακεκινημένος καὶ πάντολμος.* ~ 2

Γ2CVMΩΔ

πολλὰ κατὰ τῶν ἀδίκων κτλ.*] *εἴ ποτε ἄλλοτε, μάλιστα* 3

νῦν τούτων χρεία τῶν ἀποδυσπετημάτων. ~ VΩΔ

---

5 *ὑπόμορον* Γ text.; sch. ad pravam lectionem *ὑπόμορον* spectat ‖ 8 *ἐὰν* Δ | *ἐρωτήσῃ* Γ; *ἐρωτήσεως* V ‖ 14 cf. sch. Lexiph. 1 ‖ 24 *ποιητικὸς* Δ ‖ sch. 27 et p. 110, 1 coni. V

οἱ σεισμοὶ δὲ κοσκινηδὸν κτλ.] καταλλήλως καὶ ἄγαν προσφυῶς ἑκάστῃ πληγῇ τὴν ἔκβασιν ἐπιφέρει. ~ VΩΔ

ἕν* τι κιβώτιον] ὡς ἐπὶ τοῦ *Νῶε*· ὁ κατακλυσμὸς γέγονε. ~ V

—] οἶμαι τὸν κατακλυσμὸν καὶ τὴν κιβωτὸν διαπαίζει. ~ M

*Λυκωρεῖ**] ὄρος τὸ παρ' ἡμῖν καλούμενον *Ἀραράτ*. ~ M

4 οἱ* δέ] ὁμοία ἡ σύνταξις αὕτη τῇ ἐν τῇ ⌊ἱερᾷ τοῦ εὐαγγελίου⌋ *Ματθαίου* [28, 17] συγγραφῇ τι⌊ῇ "οἱ⌋ δὲ ἐδίστασαν"· ⌊ἀντὶ γὰρ τοῦ⌋ τινές τὸ οἱ δέ κεῖται. ~ ⌊F⌋CVMUΩ

βοηδρομήσαντες: ἀντὶ τοῦ μετὰ βοῆς δραμόντες. ~ ΔV

*Φαέθοντες**] τὴν ἐκπύρωσιν διὰ τοῦ *Φαέθοντος* ὑποδηλοῖ, ὥσπερ διὰ τοῦ *Δευκαλίωνος* τὸν κατακλυσμόν. δοκῶ ⌊δέ μοι⌋ καὶ τὴν θείαν γραφὴν μὴ ἀνεπισήμαντον τῆς ἐκπυρώσεως διατελεῖν ἀλλὰ διὰ ⌊*Σοδόμων*⌋ ὑποφαίνειν. ~ ⌊F⌋VMUΩΔ

6 *Ἐπιμενίδην**] ὁ *Ἐπιμενίδης Κρὴς* ἦν χρησμολόγος, οὗ καὶ τὸ "*Κρῆτες* ἀεὶ ψεῦσται" λόγιον. λέγεται δὲ ἑξήκοντα ἔτη ὑπνώσαντα οὕτω μετὰ ταῦτα ἀναστῆναι παραλλάττοντα καὶ κεκινημένον τὴν διάνοιαν καὶ πρὸς χρησμολογίαν τὸ ἐντεῦθεν λοιπὸν ἀπιδεῖν. ~ FCVMUΩΔ

ἐκ τῆς *Οἴτης** ἐναυσάμενος] ἡ *Οἴτη* ἐστὶ μὲν τῆς *Φωκίδος* ὄρος ὑψηλόν, οὐ μέντοι καὶ πεφυκὸς φλόγας ἀνιέναι. πῶς οὖν τοῦτο λέγει νῦν; ἔοικέ μοι, διότι ἐκεῖ *Ἡρακλῆς* τὸ τελευταῖον κατ' ἰδίαν ἀξίωσιν ὑπὸ *Φιλοκτήτου* ὡλοκαυτώθη. ~ ΓVMΩΔ

7 *πινάρός**] ἀντὶ τοῦ ῥυπῶν. ~ ΔV

*Διάσια**] ἑορτὴ *Ἀθήνησιν* οὕτω καλουμένη, ἣν εἰώθεσαν μετὰ στυγνότητός τινος ἐπιτελεῖν θύοντες *Διὶ* τῷ *Μειλιχίῳ*.

---

1 ἄγαν καὶ Δ ‖ 2 ἐπιφέρων Δ ‖ 7—9 οἱ δὲ ἐδίστασαν: ἀντὶ τοῦ τινές· τὸ γὰρ οἱ δέ οὕτως ἡ σ, cet. om., C ‖ 12 δοκεῖ Δ ‖ 16 οὕτος post *Ἐπ.* add. VΔ ‖ 17 λέγουσι V | δὲ ΓVΔ; καὶ C ‖ 19 παρακεκινημένον Bachmann, Anecd. Par. II 363, 8 ‖ 20 λοιπὸν om. C, cf. Anecd. Bachm. ‖ 28 τινος om. V | τῷ om. sch. Icarom. 24

ἔοικε δὲ καὶ τοὔνομα ταὐτη ἀπὸ τοῦ διασιαίνειν τεθεῖσθαι. ~ ⌊⌋VΩΔ. Addit Δ: διασιαίνειν δέ ἐστι τὸ ἀποτρέπεσθαι τὰς ἀνίας. ~

οὐ παροπτέος] ἀντὶ τοῦ οὐ δεῖ παρόψεσθαι. ~ M 9

κατεαγμέναι] συντεθλασμέναι. ~ M 10

ἐπὶ τὸν σοφιστήν] ἀντὶ τοῦ κατὰ τοῦ σοφιστοῦ. ~ M

ὑπερέσχε] ὑπεράνω αὐτοῦ ἔθηκε. ~ M

Ἀνάκειον*] τὸ τῶν Διοσκούρων ἱερὸν Ἀνάκειον ἐκαλεῖτο· Ἄνακες γὰρ αὐτοὶ παρ' Ἕλλησιν ἐκαλοῦντο. ~ VF2MΩΔ

οἷον ἦν κτλ.] ὡραῖον. ~ Δ 11

εἶναι] τινά δηλονότι. ~ M

αὐτίκα] ἀντὶ τοῦ συντομώτατα. ~ M

καταστήσεται] γενήσεται. ~ M

ἐπιστρέψας] εἰς ἑαυτὸν ἐπισπασάμενος. ~ M

ἐξεφόρει*] ἀπήντλει, ἐξέφερεν. ~ Δ 12

δικράνοις*] δίκρανα πτύα τινὰ οὐ συνεχῆ ἀλλὰ διῃρημένα τά, οἷς ἐφάπτονται τοῦ σωροῦ, ἢ κατὰ δύό ἢ κατὰ τρία. τούτοις δὲ καὶ λικμῶσιν ἐν ταῖς ἅλῳ. ~ VF2CMΩΔ

λάριοι] λάριον, ἀντὶ τοῦ ἡδεῖς καὶ συμποτικοί. ἐνδέχεται δὲ καὶ λάροι γράφεσθαι, ἵν' ᾖ οἱ ἁρπακτικοί, ἀπὸ μεταφορᾶς τοῦ ὀρνέου. ~ F2MΔ

—] ἀντὶ τοῦ οἱ ἡδεῖς. ~ VΩ

ἀγαπάτωσαν: ἀντὶ τοῦ ἀρκείσθωσαν. ~ F2VΩ

προαιρεῖσθαι] προτιμᾶν. ~ M 13

συνεσπακώς] κάμψας, συναγαγών. ~ M

ἀποδράσεσθαι παρ' αὐτῶν: ἀντὶ τοῦ ἐξ αὐτῶν. ~ CF2VΩ

ἐπικαλεῖν] ἤγουν ἐγκαλεῖν. ~ M 14

---

3 *Διάσια — παρὰ τὰς ἄσας, τὰς ἀνίας* Etym. ‖ 5 *συντεθλασμένον* M ‖ 8 cf. sch. Conv. 9. 24 ‖ 9 *ἑλλήνων* VΔ ‖ 16 *εἰσὶ* post *πτύα* C ‖ 17 *ἢ καὶ κατὰ δύο ἢ καὶ κατὰ* C ‖ 18 *τοῖς ἅλ.* C *ἅλωσιν* CVΔ ‖ 19 Γ in textu *λάροι, λαροὶ* Δ; a scholiasta in utroque cod. *λάριοι* corr. | *λάριον* F2 (fort. lemma est, scrib. *λάριοι*); om. MΔ | in mg ad *συμποτικοί* add. Δ: *ἢ ἀδηφάγοι* (cf. Suid. s. v. *λάρος κεχηνώς*) ‖ 26 *τὸ παρ' αὐτ. ἀντὶ* F2

16 ὦ Ζεῦ, πρὸς τοῦ Διός: παίζει πρὸς τοὺς ῥήτορας οὕτω συνεχῶς κεχρημένους. ἢ καὶ ἠθικὸν τοῦτο ποιεῖ καὶ ἁπλοϊκόν. ~ ΔVΩ

17 ἐπ' ἀρότῳ*] ἀντὶ τοῦ ἐπὶ σπορᾷ. ~ ΔM

τῇ Θεσμοφόρῳ: τῇ Ἑστίᾳ· ἐπαρθενεύοντο γὰρ αἱ ἱέρειαι αὐτῆς πανταχοῦ. ~ CVΩΔ

λαφυσσόμενος* καὶ ἐξαντλούμενος] ἀντὶ τοῦ λαφύσσεσθαι καὶ ἐξαντλεῖσθαι παραχωρούμενος. ~ VF2MΩΔ

18 ἀφαιρούμενοι*] παθητικῶς ἀκουστέον ἀφαιρούμενοι ἀντὶ τοῦ στερούμενοι. ~ VF2MΩΔ

Δαναΐδων*] Αἴγυπτος καὶ Δαναὸς ἦστην μὲν ἀδελφώ, γεγόνασι δὲ πατέρες ὁ μὲν ν′ υἱῶν, ὁ δὲ ν′ θυγατέρων ὁ Δαναός. γημάμεναι δὲ τοὺς ἄρρενας αἱ θήλειαι καὶ φόνον ἀνόσιον κατ' αὐτῶν μελετήσασαι ἅπαντας ἐν μιᾷ νυκτὶ παρὰ τὸν καιρὸν τῆς συνουσίας διεχρήσαντο τὴν ἅπασαν ἀρχὴν τῷ ἑαυτῶν πατρὶ κατακτώμεναι. ἔνθεν τοι καὶ ταύτην ἔλαχον ἐν Ἅιδου τιμωρίαν εἰς τετρυπημένον πίθον ἀντλῆσαι. ~ Γ

τοῦ ἐπιρρέοντος*] τῆς ἐπιρροῆς. ~ VΩ

19 καὶ ἐς τὸ ἄπαξ ἀναπεπταμένον: ἀντὶ τοῦ διόλου. ~ F2VMΩΔ

20 ὑποσκάζεις κτλ.] ὡραῖον. ~ ΓV

ὕσπληξ] ὅτι καὶ τὸν συνέχοντα τὰς κιγκλίδας μοχλόν, ὃν ἀρτίως λάμναν φασίν, ὕσπληγα καλεῖ. ~ F2VMΩΔ

πρίασθαι βρόχον*] εἰς τὸ δι' ἀπορίαν βίου ἀνάψαντας ἑαυτοὺς ἀπολῦσαι τοῦ ζῆν. ~ F2VMΩΔ

χρυσόχειρες*] ἢ τοῖς δακτυλίοις περιαυγαζόμενοι τοῖς χρυσοῖς ἢ δι' εὐπορίαν ὑπερβάλλουσαν χειροπληθῶς τὸν χρυσὸν

---

1 πρὸς om. Δ ‖ 4 ἐπὶ om. M ‖ 5 cf. Dial. mer. VII 4 ‖ 9 παθητικὸν V | ἀφαιρούμενοι om. V ‖ 13 τοὺς ἄρρενας certo legi videtur (non τοῖς ἄρρεσιν) Γ ‖ 16 πατρὶ μόνῳ κτώμενοι Vat. 224 | ἓν μέντοι Γ; cr. Vat. 224 ‖ 17 τετρυμμένον et 18 ἀντλοῦσαι Γ; cr. Vat. 224 (τετρημένον sch. Dial. mort. XXI 4. Dial. mar. VIII 3) ‖ 19 ἐπεισροῆς Ω ‖ 23 cf. sch. Cal. non cred. 12 | ὅτι om. V | ὃ Ω; ἣν F2VΔ | 24 ὕσπληκα Γ 26 ἑαυτοὺς om. Γ; 27 ἤτοι τοῖς VΔ ‖ 28 χειροπληθῆ Δ

διασπείροντες. ~ f2VMΔ. Addit f2: ἤ, ὅπερ ἐστὶν ἀληθές, ἐνυφασμένον αὐτὸν ἐν ταῖς ἐσθήσεσιν ἔχοντες. ~
Πλούτων* — ἅτε πλουτοδότης] αἰνίττεται εἰς τοὺς ἀπὸ 21
τῶν τελευτώντων πλουσίων διαδεχομένους τὸν κλῆρον.
ταύτῃ τοι καὶ ὑπὸ τοῦ Πλούτωνός φησιν αὐτοὺς τὴν ἀπὸ
τῶν χειρόνων ἐπὶ τὰ κρείττω λαγχάνειν μεταβολήν. ~ VΓΩΔ
δέλτον*] δέλτος καὶ τὸ ἐν εἰλήσει βιβλίον καλεῖται. ~
VMΩΔ
ἐμὲ δὲ οἱ ἐπελπίσαντες — c. 26 εὐδαιμονεῖν οἴεσθαι]
ὡραῖον ὅλον τὸ χωρίον. ~ Δ
ἀφαιρεθῇ*] τὸ ἀφαιρεθῇ καὶ τὸ τμηθῇ καὶ τὸ ἀνακη- 22
ρυχθῇ σχῆμά ἐστι τὸ παρὰ τοῖς ῥήτορσιν ἰσοκατάληκτον
λεγόμενον, ὃ καὶ πάρισον λέγεται. ~ Δ
Πυρρίου κτλ.] οἰκετικὰ ταῦτα παρὰ τοῖς παλαιοῖς ὀνό-
ματα. ~ ΓVMΔ
ἐκ μυχοῦ κτλ.] σημείωσαι. ~ Γ
ἀπειρόκαλος*] σημείωσαι, πῶς ἐχρήσατό. ~ ΓVΔ 23
—] ἀντὶ τοῦ ἄπειρος τοῦ καλοῦ. ~ VMΩΔ
μαστιγοῖ κτλ.] ὡραῖον. ~ ΓV
ἐπιθυμήσας κτλ.] σημείωσαι. ~ Δ
καὶ πρὸ πολλοῦ κτλ.] ὡραῖον. ~ ΓV 25
δυσέρωτας] δυσέρωτες μὲν οἱ ἄγαν ἐρῶντες, ἀνεπαφρό- 26
διτοι δὲ οἱ ἠλίθιοι καὶ προβατώδεις οἱμαι· καὶ αὖ πάλιν
[c. 27] ἐράσμιος ὁ ἔρωτα ἐμποιῶν, ἀνέραστος δὲ τοὐναν-
τίον. ~ Δ
ἐς βαθυκήτεα πόντον] τὸ Θεόγνιδος [175] διαπαίζει. ~
VSΩΔ
αὐτοπρόσωπον] ἀντὶ τοῦ αὐτόχρημα. ~ V 27
ἀμβλυώττοντες τὰ τηλικαῦτα: ἀντὶ τοῦ μὴ ἔχοντες ἤτοι
μὴ δυνάμενοι βλέπειν τοσαῦτα μεγέθη τῶν κακῶν. ἢ συν-

1 διασπείροντας f2V | 7 δέλτον καὶ V | 11 ἐντμηθῇ Luc. | fort. καὶ τὸ ἀνοιχθῇ post τμηθῇ inserendum, cf. Luc. ‖ sch. 17 et 18 coni. VΔ | τὸ (τῶ Δ) ἀπ. πῶς ἐχ. VΔ ‖ 22 πάνυ sch. Catapl. 14 fin. ‖ 26 τὰ Δ ‖ 29 ἤτοι V; εἶτουν Δ ‖ 30 τὰ τοσ. Δ

ὑπακουστέον τὴν εἰς πρόθεσιν, ἵν' ᾖ ἀμβλυώττοντες εἰς τὰ τηλικαῦτα οἱονεὶ σκοτοδινιῶντες, τὸ ἀκριβὲς τοῦ βλέπειν ἀπολωλεκότες. ~ ΔVM

28 *τῦφος διὰ τὸ οἱονεὶ ἐκκεκαυμένον χωρίον ἐξηρημῶσθαι τὸν ἑαλωκότα τῷ πάθει τούτῳ τῶν βελτίστων φρενῶν καὶ μηδ' ὅποι ἰέναι συμφερόντως ἑαυτῷ ἐπιστάμενον, παρ' ὃ καὶ τῦφος εἴρηται τὸ πάθος· τύφω γὰρ τὸ φλέγω καὶ καίω φασίν. σύνδρομον τούτῳ καὶ ἡ ἄνοια· ἀνοηταίνουσι γὰρ οἱ τῷ τύφῳ σεσαγηνευμένοι τῷ μὴ εἰδέναι ἔχειν, οἷ χρήσονται ἑαυτοῖς. ἐπὶ τούτοις ἡ ἄκαιρος ἐπεισέρχεται μεγαλοψυχία τῇ ἀπὸ τοῦ πλούτου περιττότητι τὸ δῆθεν ὑποδυομένη φιλάνθρωπον. ἀλλά γε δὴ καὶ μαλακία συνέστιον αὐτοῖς ἐκβιάζεται τιθέναι ἑαυτήν, τὴν θρύψιν τε καὶ θηλύτητα διὰ τὴν εὐπορίαν προβαλλομένη. σύμμαχοι ταύταις λοιπὸν ὕβρις τε καὶ ἀπάτη, τῆς μὲν τῶν ἄλλων διὰ τὸν πλοῦτον ὑπερφρονεῖν ἐχούσης, τῆς δὲ τὸ παράλογον τῆς οἰήσεως κρατύνειν ἀναπειθούσης καὶ ⌊ὡς καλῷ τε⌋ καὶ σωτηρίῳ τούτῳ προσανακεῖσθαι.* ~ ⌊F2⌋VMΔ

29 *τὸ ποῖον*] ἀτελὴς ὁ λόγος αὐτῷ τῷ τοῦ δράματος ἔθει. πολλὰ δὲ τοιαῦτα τῇ κωμῳδίᾳ.* ~ Δ

30 *Ὑπερβόλῳ: Ὑπέρβολος οὗτος, ὡς Ἀνδροτίων* [fr. 48. F. H. G. I p. 376 Müller] *φησίν, Ἀντιφάνους ἦν Περιθοίδης, ὃν καὶ ὠστρακίσθαι διὰ φαυλότητα. ὁ δὲ αὐτὸς καὶ λυχνοποιὸς ἦν καὶ ἐλυχνοπώλει, ὡς Ἀνδοκίδης* [fr. 5. ed. II p. 109 Blaß] *ἱστορεῖ, ὃς καὶ ξένον αὐτὸν εἶναι καὶ βάρβαρον βούλεται. ἐπὶ τούτου δὲ καὶ τὸ ἔθος τοῦ ὀστρακισμοῦ κατελύθη, ὡς Θεόφραστος ἐν τῷ Περὶ νόμων* [om. Wimmer] *λέγει. Πολύζηλος δὲ ἐν Δημοτυνδάρεῳ* [fr. 5. C. A. F. I 791 K.] *Φρύγα αὐτὸν εἶναί φησιν εἰς τὸ βάρ-*

---

6 αὐτῶ V ‖ 8 γὰρ τούτῳ V ‖ 9 μηδ' V ‖ 12 μαλακίας V; μαλακίαν Δ ‖ 13 ἑαυτοῖς V ‖ 14 εὐποιίαν βαλλομένην Δ ‖ 17 κρατύνειν ΓV; ἀνατείνειν Δ ‖ 22. 23 περιθύδης ΓΔ; om. V ‖ 23 καὶ om. V ‖ 27 ὡς — 28 Δημοτ. om., tum καὶ φρύγα δὲ V ‖ 29 φασιν V

βαρον σκώπτων. Πλάτων δὲ ὁ κωμικὸς ἐν Ὑπερβόλῳ [fr. 170. C. A. F. I 645 K.] Λυδὸν αὐτόν φησιν εἶναι Μίδα γένος, καὶ ἄλλοι ἄλλως. ἔστι δὲ τῇ ἀληθείᾳ Χρέμητος, ὡς Θεόπομπος ἐν τῷ Περὶ δημαγωγῶν [fr. 102. F. H. G. I p. 294 Müller]. Κρατῖνος δὲ ἐν Ὥραις [fr. 262. C. A. F. I 91 K.] ὡς παρελθόντος νέου τῷ βήματι μέμνηται καὶ παρ' ἡλικίαν καὶ Ἀριστοφάνης Σφηξὶ καὶ Εὔπολις Πόλεσι [fr. 238. C. A. F. I 322 K.]. Θεόπομπος δὲ πάλιν ἐν δεκάτῳ Φιλιππικῶν [fr. 103. F. H. G. I 294 Müller] ἐν Σάμῳ φησὶν ἐπιβουλευθέντα ὑπὸ τῶν Ἀθήνηθεν ἐχθρῶν ἀναιρεθῆναι, τὸ δὲ νεκρὸν αὐτοῦ εἰς σάκκον βληθὲν ῥιφῆναι εἰς τὸ πέλαγος. ~ ΕVΔ

Κλέωνι] Κλέων δημαγωγὸς ἦν Ἀθηναίων προστὰς αὐτῶν ἑπτὰ ἔτη, ὃς πρῶτος δημηγορῶν ἀνέκραγεν ἐπὶ βήματος καὶ ἐλοιδορήσατο, θρασὺς ὢν καὶ οὕτως, ὥστε, καθὼς Θεόπομπος [fr. 99. F. H. G. I 294 Müller] ἱστορεῖ, συνελθόντων Ἀθηναίων παρελθεῖν εἰς τὴν ἐκκλησίαν στέφανον ἔχοντα καὶ κελεῦσαι αὐτοὺς ἀναβαλέσθαι τὸν σύλλογον — τυγχάνειν γὰρ αὐτὸν θύοντα καὶ ξένους ἑστιᾶν μέλλοντα — καὶ διαλῦσαι τὴν ἐκκλησίαν. δωροδόκος δὲ εἰς ὑπερβολὴν ὑπῆρχε καὶ τοῦτο δηλοῖ αὐτοῦ ἡ γραφεῖσα ἀπ' αὐτοῦ Μυτιληναίοις ἐπιστολή· ὕστερον δὲ Μυτιλήνης ἁλούσης ὑπὸ Πάχητος τοῦ στρατηγοῦ τὴν μὲν ἔμπροσθεν ἡμέραν συμπεῖσαι τὸν δῆμον, ὡς χρὴ Λεσβίων ἁπάντων πλὴν Μηθυμναίων τοὺς μὲν ἡβῶντας ἀποκτεῖναι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι, καὶ τὸ ψήφισμα τοῦτο ἀποστεῖλαι ἐπὶ τῆς Παράλου· τῆς δὲ νυκτὸς τῆς ἐπιούσης

---

1 σκώπτοντες, om. Πλάτων — 4 δημαγωγῶν, V ‖ 3 μῆδον τὸ γένος Δ ‖ 6 προσελθόντος Hemsterhuis ‖ 7 καὶ Ἀριστ. — 8 Πόλεσι om. V | de Hyperbolo cf. sch. Aristoph. Vesp. 1007 | σφιγξὶ Δ | πάλιν — 9 Φιλιππ. om. V ‖ 9 ἐν δ´ Solanus ‖ 9. 10 φησιν ἐν σάμω V ‖ 11 τὸν — βληθέ͞ν Δ (cf. sch. Aristoph. Vesp. 1001) ‖ 12 et 13 coni. V (ὁ δὲ κλέων) ‖ 15 καὶ (post ὢν) om. V ‖ 22 ἀπ' V et (ἀ ex ὐ) Γ2 ‖ 27 τῆς (post νυκτὸς) om. V

ἐλθόντων ὡς αὐτὸν τῶν ἐπιδημούντων Ἀθήνησι Λεσβίων καὶ δέκα ταλάντοις αὐτὸν ἀργυρίου μετελθόντων μεταπεῖσαι πάλιν τὸν δῆμον καὶ τριήρη ἄλλην ἀποστεῖλαι ἀναιροῦσαν τὸ ψήφισμα. οὕτω Θουκυδίδης [3, 36 sq.]. ἐπέστη δὲ καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος [fr. 106. F. H. G. I p. 401 Müller] καὶ Ἀριστοφάνης [cf. Vesp. 665 cum schol.] προσθεὶς ἄρχοντα Εὔθυνον. Ἀριστοτέλης δὲ ἐν Πολιτείᾳ [XXVIII 3] καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων. τὰ δὲ ὑπὸ ⌊τὴν ὄψιν⌋ ἦν ἀργαλέος καὶ μάλιστα τὰς ὀφρῦς, ὡς Κρατῖνος Σεριφίοις [om. Kock]. εἶχε δὲ καὶ φωνὴν μεγάλην· Ἀριστοφάνης Σφηξὶν [36] ἐπ' αὐτοῦ

"ἔχουσα φωνὴν ἐμπεπρημένην ὑός".

βυρσοδέψην δὲ αὐτὸν λέγεσθαι Ἰδομενεὺς [om. Müller] ἤτοι ὡς βυρσοδέψου υἱὸν ἢ ὡς αὐτοῦ ἔτι παιδὸς τὸ ἐπιτήδευμα μεταχειρισαμένου. ἐκωμῳδεῖτο δὲ καὶ ἐπὶ μανίᾳ, ὡς Κρατῖνος Σεριφίοις [om. Kock]. ἐξέπλευσε δὲ καὶ στρατηγὸς ἐπ' Ἀμφίπολιν, ⌊ἔνθα καὶ ἐ⌋τελεύτα νικηθεὶς ὑπὸ Βρασίδου ἐπὶ ἄρχοντος Ἀμεινίου. ~ ⌊⌈2⌋V

36 πλοῦτος ὁ ἐμὸς κτλ.] ὡραῖον. ~ Γ

37 ἀνέξομαι] ἀντὶ τοῦ βαστάσω· τὸ γὰρ ὑπομένω γενικῇ συντάσσεται. ~ M

ἀνέξομαι κτλ.] οὐ πρὸς τὸ ἀνέχομαι, πρὸς δὲ τὸ λέγοντα ἢ σύνταξις. ~ ⌈2M

—] σκόπει, πῶς ἐνήλλαξε τὴν σύνταξιν, οὐ πρὸς τὸ ἀνέξομαι ἀποδοὺς τὴν πτῶσιν, ἀλλ' αἰτιατικὴν ἐπενέγκας οἷον 'ὀλίγα λέγοντά σε'. ἴσως δὲ τὸ ἀνέξομαι ἀντὶ τοῦ προσδέξομαι ἢ παραχωρήσω προσελήφθη. ~ VMΩΔ

40 ὑπεκστήσομαι*] ἀποστήσομαι. ~ Δ

---

3 τρ. πάλιν ἄλλην V ‖ 5 ὡς Φιλ. προσθεὶς ἄρχ. Εὔθ. καὶ Hemsterhuis ‖ 7 Εὐθύδημον Iacobitz ‖ 8 ἐν Πολ. om. V ‖ 11 ὡς — 13 ὑός om. V ‖ 11 et 17 σεριφοις ⌈2 ‖ 14 Ἰδομ. om. V ‖ 15 ἢ pro ἤτοι V ‖ 17 ὡς Κρ. Σ. om. V ‖ καὶ om. ⌈2 ‖ 23 scrib. ἀνέξομαι, cf. Luc. ‖ 26 ἀπενέγκας V ‖ 28 παραχωρῆσαι V

*Κορύβαντες**] οὐ μάτην τοὺς Κορύβαντας ἐπὶ τῇ ἐκ- 41
πλήξει ἐμβοᾶται, ἀλλ' ὡς ἐπὶ παραδόξῳ καὶ μανιώδει δῆθεν
τῷ συγκυρήματι. ~ VΩΔ

—] διὰ τὸ παράδοξον καὶ τεράστιον τοῦ θησαυροῦ τοὺς
Κορύβαντας ἐπικαλεῖται. ~ ΓM

*ἄνθρακας εὗρω ἀνεγρόμενος**] κατὰ τὸ ὑπὸ τῶν πολ-
λῶν τερατευόμενον. ~ ΓVMΔ

ἐπίσημον] ἀντὶ τοῦ κεχαραγμένον. ~ Δ

Ἐλέου βωμός*] ἵδρυτο γὰρ παρ' Ἀθηναίοις Ἐλέου βωμὸς 42
ἐπὶ συμπάθειαν καὶ φιλανθρωπίαν αὐτοὺς καλῶν. ~
VΓCMΩΔ

*Πανί**] ἐπὶ ταῖς ἐσχατιαῖς γὰρ καὶ τοῖς ἐρημοτέροις τῶν
χωρίων εἰώθεσαν Ἕλληνες τὸν Πᾶνα ἱδρύεσθαι. ~ VCΩΔ

*ἀποφράς**] ἦσαν παρ' Ἕλλησιν ἡμέραι ἀπραξίαν εἰσηγού- 43
μεναι παντὸς καὶ ἀργίαν, ὡς ἀποφράδας ἐκάλουν. ἐν ταύ-
ταις οὐδὲ προσεῖπεν ἄν τίς τινα οὐδὲ καθάπαξ φίλος ἐπε-
μίγνυτο φίλῳ· ἀλλὰ καὶ τὰ ἱερὰ ἀχρημάτιστα ἦν αὐτοῖς.
ἐτελεῖτο δὲ ταῦτα κατὰ τὸν Φεβρουάριον μῆνα, ὅτε καὶ
τοῖς καταχθονίοις ἐνήγιζον. καὶ πᾶς οὗτος ὁ μὴν ἀνεῖτο
τοῖς κατοιχομένοις μετὰ στυγνότητος πάντων προϊόντων
ἕτερον τρόπον, ὃν καὶ τὰ Διάσια στυγνάζοντες ἦγον Ἀθη-
ναῖοι. ἐντεῦθεν καὶ πάντα τινὰ τῶν ἀπαισίων ἀποφράδα
ἐκάλουν, οἱονεὶ ὃν μηδὲ φράσαι μηδὲ προσειπεῖν ἄξιον
νομίσαι δι' ὑπερβάλλουσαν κακίαν. ~ VΓMΔ. Addit Γ:
ἐν τῷ κατὰ Τιμάρχου λόγῳ οὗτος αὐτὸς ὁ Λουκιανός τί
ἐστιν ἀποφρὰς πάνυ σαφῶς δηλοῖ [Pseudol. s. De apophr.
c. 1 sq.]. ~

ἢ τό γε κτλ.*] ἀντὶ τοῦ ἢ τοῦτο μόνον παρανομήσωμεν, 45
ἢ ἀντὶ τοῦ βραχὺ ἢ ὀλίγον παρανομήσωμεν. ~ ΓVMΩΔ

---

2 ἐκβοᾶται Δ ‖ 9 cf. sch. Demon. 57 ‖ 10 αὐτοὺς καὶ φιλ. C | παρακαλῶν VΔ ‖ 14 παρ' ΓV; γὰρ Δ ‖ 18 αὐτοῖς post ταῦτα add. VΔ ‖ 19 ἐνήγ. τοῖς κατ. VΔ | καὶ πᾶς κτλ. om. Δ ‖ 21 οὐχ ἕτερον Graeven | cf. p. 110, 28 ‖ 22 τὸν ἀπαίσιον V ‖ 23 φράσαι τις V ‖ 28 et 29 παρανομήσομεν Δ

46 ἴσχαιμον*] ἐπέχον τὸ αἷμα. ~ VMΔ
47 ἀναφαλαντίας] ἤγουν ὁ φαλακρός. ~ M
48 καὶ ὅπως κτλ.] προσυπακουστέον τὸ μέμνησο Ἀττικῆ συνηθείᾳ. ~ VMΩ
καίτοι σύ γε κτλ.] ὡραῖον. ~ V
κατέαγα κτλ.] ὡραῖον. ~ Γ
—] Ἀττικὴ ἡ σύνταξις τὸ 'κατέαγα τοῦ κρανίου', ὡς Ἰουστῖνός φησιν. ~ Γ2M
—] καὶ τοῦτο Ἀττικόν· αὐτοὶ γὰρ ἀεὶ ἐπὶ μέρους εἰώθασι λέγειν, 'ἔφαγον τοῦ ἄρτου', 'ἔπιον τοῦ οἴνου', οὕτως οὖν καὶ 'κατέαγα τοῦ κρανίου'. ~ CVMΩΔ
49 γινόμενον*] ὀφειλόμενον. ~ S
50 τὸ μέγα ὄφελος κτλ.] ὡραῖον. ~ Γ
μιᾶς ἡμέρας κτλ.] σημείωσαι. ~ Γ
ἐθεώρησα*] ἀντὶ τοῦ θεωρὸς ἐγενόμην. ~ S
51 Ἡλιαίᾳ*] δικαστήριον Ἀθήνησιν ἡ Ἡλιαία εἰς ὕπαιθρον προκαθημένων τῶν δικαστῶν, παρ' ὃ καὶ Ἡλιαία ἐκαλεῖτο, παρὰ τὸ ἡλιοῦσθαι τοὺς ἐκεῖ ἀθροιζομένους. ~ VΓ2CMΩΔ
χρυσοῦν ἀναστῆσαι*] ἀνέστησε τὸν ἅγιον ἀντὶ τοῦ ἐζωγράφησε. ~ S
κεραυνὸν — ἔχοντα κτλ.] κεραυνὸν μὲν ὡς ἴσον δῆθεν τῷ Διί, ἀκτῖνας δὲ ὡς τῷ Ἀπόλλωνι. ~ VΩΔ
53 πλουτεῖς τὸν ὀπισθόδομον* διορύξας] ὡς ἱερόσυλον διαβάλλων ταῦτά φησιν· ὁ γὰρ ὀπισθόδομος ἱερόν. ~ VΓ2MΩΔ. Addunt VMΩΔ: τὸ ὄπισθεν δὲ τοῦ ἀδύτου οὕτως ἐλέγετο. ~
—] ὅτι ὁ ὀπισθόδομος ἱερόν. τὸ ὄπισθεν τοῦ ἀδύτου οὕτως ἔλεγον, ἐν ᾧ καὶ τὰ δημόσια ἀπέκειτο χρήματα. ~ C
54 τὸ σχῆμα κτλ.] ὡραῖον. ~ Γ
Σωφρονίσκος*] οἷον τοῦτο πέπαιχεν ἀπὸ τοῦ Σωφρονίσκου παρῳδήσας. ~ VΩΔ

---

9 cf. sch. Char. 5. Alex. 16. De hist. conscr. 20. sch. in Plat. Gorg. 469 D ‖ 11 κατέαγον C ‖ 30 σωφρονικός Luc. vulg.

ἰκτῖνος] *ζῷον ἁρπακτικόν.* ~ M

*καρύκης**] *βρῶμα Λύδιον ἐξ αἵματος ἡ καρύκη.* ~ ΓVMΩΔ

*μυττωτοῦ**] *μυττωτὸς τρίμμα ἐξ ἀρτυμάτων πολλῶν συντεθειμένον. ἑκάλουν δὲ καί τι ὑπότριμμα διὰ σκορόδων,* 5 *ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ* [273]. *ἔοικε δὲ νῦν μυττωτὸν τὸν ἀπὸ τῶν κρεῶν ἐν τῷ ζωμῷ γλοιὸν καλεῖν, ὃς τοῦ ζωμοῦ ἐκλελοιπότος τῷ τρυβλίῳ περικάθηται.* ~ ΓCVMΩΔ

ἡ γοητεία προηγεῖται**] *οὐδὲ Ζεῦξις ἢ καὶ Παρράσιος* 55 *οὕτως ἡμῖν διὰ φαρμάκων φιλόσοφον γοητείαν καὶ τερα-* 10 *τείαν γράψας διετυπώσατο, ὡς οὗτος ἀπαραλλάκτως διὰ τοῦ προκειμένου Θρασυκλέους Θρασύτητά τε καὶ μιαρίαν ἠθῶν ψευδοσόφων ἀνδρῶν ὡς ἐπὶ πίνακος ἐναργῶς τῷ λόγῳ ἀπηκριβώσατο.* ~ VΔ

σοῦ δὲ αὐτοῦ κτλ.] *σημείωσαι.* ~ Γ 56

15 *μνᾶν*] *ἡ μνᾶ λίτραι δύο πρὸς τῷ ἡμίσει.* ~ MΔ 57

*ξυμφορήσας**] *συνάξας.* ~ S 58

subscriptio: *Διώρθωσα ἐγὼ Ἀλέξανδρος μετὰ τοῦ οὗ μέμνημαι συνιερέως καὶ συνεπισκόπου ἀδελφοῦ.* ~ Γ2

26. *Χάρων ἢ Ἐπισκοποῦντες.*

20 *ἀδακρυτὶ κτλ.*] *σημείωσαι.* ~ Γ 1

Θετταλός] *τὸν Πρωτεσίλαον λέγει.* ~ BΔ

—] ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται Εὐριπίδῃ. λέγεται δέ, ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνην συγγενόμενος τῇ γυναικὶ αὐτοῦ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων εἰς τὴν 25 *Τροίαν ἐλθεῖν καὶ πρῶτος αὐτῆ ἐπιβὰς ἐτελεύτησε. καὶ*

---

1 *ἁρπατικόν* M ‖ 2 *αἵματος καὶ ἄλλων ἡδυσμάτων* Hes., cf. Etym. ‖ 3 cf. sch. Lexiph. 6 | *μυττωτὸν* C; cf. Phot., Etym. ‖ 3. 4 *συντιθέμενον* Etym. ‖ 4 *δὲ* om. C | *δ' οὖν καὶ* Δ | *σκορόδου* Phot, Etym. ‖ 5 *ἔστι δὲ* C | *νῦν* ΓΔ; *καὶ* CΩ; om. VM ‖ 5. 6 *μυττωτὸν τὸν* om. C ‖ 7 *ἐν* ante *τῷ* add. C | *τρυβλαίῳ* Γ ‖ 9 *φιλοσόφων* cod. Voss. ‖ 10 *οὗτος* Δ; *οὕτως* V ‖ 15 *ἥμισυ*, om. *πρὸς τῷ*, M ‖ 22 *γράμμα* UΩ; cr. ex sch. in Aristid. III 671 Dindorf ‖ 24. 25 *κατὰ τῆς Τροίας* sch. Aristid. ‖ 25 *πρῶτος ἐπιβὰς τῆς Τροίας* sch. Aristid.

φασίν, ὅτι τοὺς κάτω δαίμονας ἠτήσατο καὶ ἀφείθη μίαν ἡμέραν καὶ συνεγένετο τῇ γυναικὶ αὐτοῦ. ~ UΩ

ὡς* ἂν εἰδὼς ἅπαντα] ὡς ἐπιστάμενος σὺ ὁ Ἑρμῆς ἅπαντα. ~ Δ

οὐ σχολή μοι κτλ.] μετέωρος ὁ λόγος τῇ μιμήσει τῶν ἀληθινῶν διαλόγων. ~ BΔ

πρόσκωπον* εἶναι] ἀντὶ τοῦ ἐρέττειν ἤτοι ἐπὶ τῇ κώπῃ εἶναι. ~ BVNΔ

ὤμους* οὕτω καρτεροὺς ἔχων] ὡς παλαιστὴν αὐτὸν διαπαίζει. ~ BNΔ

2 ἀκόνδυλον*] κόνδυλος ὁ ἐν τῇ συνηθείᾳ γρόνθος. ~ VBCΩΔ

3 ὑψηλὸν ἀρθῇ κτλ.] ὡραῖον. ~ Γ

Ἀλωέως υἱέας δύο* κτλ.] Ὦτον καὶ Ἐφιάλτην. ~ VNΩΔ.

Addunt NΔ: εἴρηται περὶ τούτων ἐν τοῖς κατόπιν [p.106,30] μετὰ θαυμαστῆς οἵας τῆς θεωρίας, τί τὸ τοῦ μύθου αἰνίττεται, ὅτι διὰ τῆς τῶν ὀρέων σκιᾶς θηρῶντες οὗτοι τὰς ἀποστάσεις τε καὶ τὰ ὕψη τῶν τόπων ὥσπερ θέμις τοῖς ὀπτικοῖς τοῦτο ὑπελήφθησαν παρὰ τῶν ἄλλων ἀνθρώπων, φημὶ δὲ τὸ τὰ ὄρη ἐπάλληλα ἐποικοδομεῖν. ~

ἔξειν οἰομένους κτλ.] ὡραῖον. ~ ΓV

4 ὁ δὲ γεννάδας Ὅμηρος κτλ.] σκόπει τὸν βωμολόχον, ὅπως εὐθίκτως διαγελᾷ τὰ τῶν Ἑλλήνων σεμνότατα. ~ BNΔ

ποιηταί*] ⌜οὕτως ὄ⌝ναιο, γόης καὶ ⌜πλα⌝στογράφε. ~ ⌜V⌝BNUΩΔ. Addit U: εἰ μὴ ᾔδεις αὐτοὺς ψευδομένους, οὐκ ἂν κατεγέλασας αὐτούς. ~

5 ξυντριβέντες τῶν κρανίων: Ἀττικὴ ἡ σύνταξις, τὸ δὲ κοινὸν ⟨συντριβέντες τὰ κρανία⟩· τὰ γὰρ πρὸς πεῖσιν ἢ δρᾶσιν αἰτιατικῇ συντάσσονται, ⟨ἔπαθον τὴν ψυχήν⟩, ⟨συνέ-

---

10 διαβάλλει N ‖ 11 ὅτι κ. λέγεται ὁ C ‖ 17 καὶ ὅτι Δ ‖ 18 τε om. Δ ‖ 20 δὴ Δ ‖ 22 ad c. 2 σοὶ δὲ εἰ μὲν κτλ. relat. Δ ‖ 28 cf. sch. Timon. 48 ‖ 30 συν̄ B

τριψα τὴν λήκυθον'. οὕτως οὖν καὶ τοῦτο πρὸς αἰτιατικὴν ἔδει ἀποδοθῆναι. ἀλλ' ἐπειδὴ φιλοῦσιν Ἀθηναῖοι τὸ ἐπὶ μέρους λέγειν, ὡς τὸ 'ἔφαγον τοῦ ἄρτου', 'ἔπιον τοῦ οἴνου', οὕτως κἀνταῦθά φησι 'συντριβέντες τῶν κρανίων'. ∼ BCΩΔ

ἀχλὺν κτλ.] ὡραῖον. ∼ Γ 7

—] σημείωσαι. ∼ Δ

εἰπὲ γάρ μοι κτλ.] σημείωσαι. ∼ Δ 8

Μίλων*] Μίλωνος τούτου φέρεται καὶ ἄλλα ⌊τῆς⌋ κατὰ σῶμα ἀλκῆς θαύματα. φασὶ γὰρ αὐτὸν Πυθαγόρειον ὄντα καθῆσθαι μετὰ τῶν ὁμιλητῶν ἐν οἰκίᾳ, ἧς ὑποσάθρου τινὸς τῶν στύλων ὄντος ὑποβάντα τὸ πεπονηκὸς τῆς οἰκίας τὸν στῦλον πρότερον παρωσάμενον ἐκείνους τε σῶσαι καὶ ἑαυτὸν ἀκέραιον ὑπεξαγαγεῖν. ἔτι δὲ καὶ τοῦ⌊το⌋, ὃ δὴ καὶ τοῦ ζῆν αὐτὸν ἀπήλλαξεν, ὡς βαδίζοι ποτὲ παρ' ὕλην τινὰ οὕτος καὶ παραβαίη μὲν τὴν ὁδὸν ἐπὶ πολύ, περιτύχοι δὲ κορμῷ μεγάλῳ κατεσφηνωμένῳ, ὃν βιαζομένου πρὸς τὴν διάστασιν τοὺς σφῆνας μὲν καταπεσεῖν, αὐτὸν δὲ περισχεθέντα τῇ συμπτώσει τῶν μερῶν ἀφύκτῳ πάγῃ θηρίων ὑπάρξαι θοίνην. ∼ Γ⌊B⌋CΩΔ

σοὶ τὸν Μίλωνα κτλ.] ὡραῖον. ∼ Γ

ἀμαχωτάτου*] ἀναλωτοτάτου. ∼ Γ

τὴν τὸ τριπλοῦν τεῖχος] προσυπακουστέον τὸ ἔχουσαν. ∼ Ω 9

ἕρμαιον: τὸ εὕρημα προπαροξυτόνως, τὸ δὲ Ἑρμοῦ κτητικὸν προπερισπᾶται. ∼ ΔM 12

εὖ γε παρῳδεῖς*] καλῶς γε ἄλλην ἦσας ᾠδήν. ∼ Δ 14

---

3 καὶ ἔπιον C ‖ 4 φασι B; om. Δ ‖ 9 Μίλωνος — 10 θαύματα om. C ‖ 10 C inc.: ὅτι Μίλωνά φησι πυθαγόριον | φασὶ κτλ.: cf. Strab. VI p. 263; cf. etiam Bachmann, Anecd. Par. II 354, 3 ‖ 12 ὑποβὰς C; ὑποβαστάσαντα Ω; ὑποδύντα Strab. ‖ 15 βαδίζοι B ‖ 17 βιαζόμενος Δ; βιαζόμενος cet. ‖ 18 λέγεται . . ἐμβαλὼν χεῖρας ἅμα καὶ πόδας εἰς τὴν διάστασιν βιάζεσθαι πρὸς τὸ διαστῆσαι τελέως Strab. | ἐκπεσεῖν Strab. ‖ 22 ἀναλωτάτου Γ

πανευδαίμονα*] εὐτυχία εὐδαιμονίας διαφέρει· ἡ μὲν γὰρ εὐτυχία ἐπὶ ἑνὸς ἀγαθοῦ λαμβάνεται, ἡ δὲ εὐδαιμονία ἐπὶ πάντων τῶν ἀγαθῶν ἤγουν ἀρετῶν ἢ χρημάτων. ~ ΔM

15 καὶ τὰ μὲν κτλ.] σημείωσαι. ~ Δ

φέρουσι τὸ ὑποδεέστερον κτλ.] ὡραῖον. ~ Γ

16 καὶ κληρονομῆσαί γε — αἰωρούμενος] ὡραῖον πάνυ. ~ Δ

17 ὅτι θνητοί τέ εἰσι κτλ.] ὡραῖον. ~ Γ

ἔζων τε ἂν σωφρονέστερον κτλ.] σημείωσαι. ~ Δ

ἢ τί γὰρ — c. 20 τῶν ματαίων πόνων] ὡραῖον ὅλον πάνυ τὸ χωρίον. ~ Δ

εἰ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν ὅτι θνητοί τέ εἰσιν ... ἢ τί* γὰρ οὐκ ἂν ποιήσειεν ἐκεῖνος ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος κτλ.] ἀμφότερα ταῦτα εἴδομεν ἐφ' ἡμῶν τέλος ἐσχηκότα· καὶ γὰρ Στυλιανὸς ὁ Ζαούτζης οἶκημα πρὸς τὸ παλάτιον κατασκευάσας φιλοτίμως τοσοῦτον ἀπέλαυσεν αὐτοῦ, ὥστε τὸν ἐγκαινισμὸν τοῦ οἴκου ἀρχὴν αὐτῷ τοῦ θανάτου καὶ τέλος ὑπάρξαι τοῦ βίου, Λέων τε ὁ Βασιλείου τὴν τοῦ υἱοῦ γένεσιν λαμπρῶς ἑστιάσας αὐτὸς μὲν οἴχεται, μετέωροι δ' αἱ ἐπὶ τῷ υἱῷ ἀποβάσεις. ~ BΔ

ὑφ' ὧν ἐπιόντων ἀγγέλων] ἀντὶ τοῦ ὑπὸ τῶν ἐπιόντων. ~ ΔMΩ

19 πομφόλυγας ἐν ὕδατι] ἄγαν εὐφυὲς τὸ παράδειγμα. ~ BΔ

20 ἀεὶ τὸν θάνατον — c. 22 τί οὖν ἐκεῖνοι] ὡραῖον τὸ χωρίον. ~ Δ

22 καὶ οἷα τὰ παρ' ἡμῖν κτλ.] σημείωσαι. ~ Δ

27. *Βίων πράσεις.*

3 διδάξομαι* μὲν οὐδέν, ἀναμνήσω δέ] ⌜τῶν παρ' Ἕλλησι μετεμψυχώσεων τὸ δόγμα πρῶτος Πυθαγόρας εἰσή-

---

30 πρῶτος om. C

νεγκεν. ἐπεὶ δὲ τὴν ψυχὴν προϋπάρχειν διὰ τοῦ τὰς μαθήσεις ἀναμνήσεις ὑποτίθεσθαι κρατύνεται, εἰκότως τοῦτο ληρεῖν τὸ νῦν πεποίηκε τὸν Πυθαγόραν. ~ VCΦΩ

ἃ σὺ δοκέεις τέτταρα, ταῦτα δέκα ἐστὶ καὶ τρί-* 4
γωνον ἐντελὲς καὶ ἡμέτερον ὅρκιον

δυνάμει τρίγωνον. τρίγωνον α′ ἐνεργείᾳ.∴

τρίγωνον β′ ∴ τρίγωνον γ′ ∴

ὁ γὰρ τέσσαρα μετὰ τῶν πρὸ αὐτοῦ, τουτέστι τοῦ τρία καὶ τοῦ δύο καὶ τοῦ ἑνός, ποιεῖ τὸν δέκα· τέσσαρα τρία δύο ἕν· οὕτω μὲν οὖν ὁ τέσσαρα δέκα, τρίγωνον δέ. οὕτως οἱ ἀριθμητικοὶ ζηλοῦντες τοὺς γεωμετρικοὺς εἰς σχήματα καὶ αὐτοὶ ἔταξαν τοὺς ἀριθμούς, τρίγωνα, τετράγωνα καὶ ἑξῆς. ὡς ἀπὸ στοιχείου τοίνυν ἀρξάμενοι τῆς μονάδος, ἣν δυνάμει βούλονται εἶναι πάντα τὰ πολύγωνα, ἀποτελοῦσι τὰ ἐνεργείᾳ πολύγωνα, τρίγωνα καὶ τετράγωνα καὶ πεντάγωνα καὶ ἑξῆς. τῆς μὲν οὖν μονάδος δυνάμει οὔσης τριγώνου πλευρὰ μονάς, τοῦ δὲ ἐνεργείᾳ πρώτου τριγώνου τοῦ τρία πλευρὰ δυάς, τοῦ δὲ δευτέρου τοῦ ἓξ τριὰς ἡ πλευρά, τοῦ δὲ τρίτου τριγώνου τετρὰς ἡ πλευρά. ἔστι δὲ πρῶτον μὲν τρίγωνον ἐν ἀριθμοῖς ὁ τρία, δεύτερον ὁ ἕξ, τρίτον ὁ δέκα καὶ ἑξῆς. ἐντελὲς δὲ τρίγωνον ὁ δέκα ὡς τῷ τριγώνῳ καὶ τετραγώνῳ συντελούμενος τοῖς πρώτοις τῶν εὐθυγράμμων σχημάτων, τῷ μὲν τριγώνῳ διὰ τὸ ὅλον σχῆμα — τρίγωνον γάρ —, τῷ τετραγώνῳ δὲ διὰ τὴν πλευράν — ὁ γὰρ τέσσαρα τούτου πλευρά, ὅς ἐστιν ἀρχὴ τῶν τετραπλεύρων —. οὕτως μὲν οὖν ὡς ἐν παρεκβάσει ἐρεῖν τρίγωνον ἐντελὲς ὁ δέκα. ὅρκιον δέ· αὐτοὶ γὰρ οἱ Πυθαγόρειοι ὅρκον ἐποιοῦντο τὸν δ′ οὕτως "ναὶ μὰ

---

1 τοῦτο C ‖ 2 κρατύνει Ω | εἰκότως — 3 Πυθαγόραν om. C ‖ 8 τέσσαρα ἀριθμὸς φ ‖ 19 ἡ πλευρά om. φ ‖ 20 τοῦ τ̄ post τριγώνου add. φ | ἔστι — 22 ἑξῆς om. φ ‖ 23 συντελούμενον codd. ‖ 29 cf. Porph. Vit. Pyth. 20

τὸν ἁμετέρᾳ ψυχῇ παραδόντα τετρακτύν, παγὰν ἀενάου φύσιος". ἔλεγον δὲ ⌜καὶ τὸν Θεὸν⌝ ἀριθμὸν καὶ [c. 5] μετενδύεσθαι τὰς ψυχὰς πάντα σώματα ζῴων μέχρι καὶ τῶν κνωδάλων. [c. 6] καὶ κυάμων δὲ ἀ⌜πείχοντ⌝ο. χρυσοῦν δὲ ἔλεγον ἔχειν Πυθαγόραν κατὰ θάτερον τῶν μηρῶν. ~ ⌜V⌝ΦUΩ

6 χρυσοῦς*] ἐλέγετο γὰρ ὁ Πυθαγόρας ἐντετυπῶσθαι τῷ δεξιῷ ⌜αὐτοῦ μ⌝ηρῷ τὸν Φοῖβον. ~ ΓC⌜V⌝Φ

εἶναι* τῶν ἀμφὶ Κρότωνα] ⌜περὶ Κρότωνα γὰρ τῆς Ἰταλίας συνεστήσατο Πυθαγόρας⌝ τὸ ἑαυ⌜τοῦ⌝ παιδευτή⌜ριον, ἐν ᾧ⌝ τριακόσιοι τὸ⌝ πρῶτον οἱ οὕτως ἀγόμενοι Πυθαγορικῶς. ἐνῆσαν δὲ καὶ γυναῖκες ἄκρως ἐξασκοῦσαι τὴν ⌜αἵρεσιν· ὧν καὶ Θε⌝ανὼ ἦν. τούτους οὖν φησιν αὐτὸν ἐωνῆσθαι. ἀπὸ Κρότωνος δὲ καὶ εἰς Τάραντα ἡ αἵρεσις διεδ⌜όθη. τὴν ταύτῃ δέ φησιν⌝ ⌜Ελ⌝λάδα, διότι ⌜Ελ⌝λήνων πάλαι ἀποικισάντων ⌜Ι⌝ταλίαν συνέβη⌝ τῇ τῆς γ⌜ῆς ἀρετῇ πλούτῳ⌝ τε μεγάλ⌜ῳ πλουτῆσαι⌝ αὐτοὺς καὶ ⌜εὐανδρῆσαι⌝ διαφερό⌜ντως· ἀφ' οὗ⌝ καὶ Μεγάλη ⌜Ελλὰς ἐκλήθη⌝. ~ ⌜V⌝CΦUΩ

7 ὁ ἐξωμίας: ⌜ἐξωμίδα⌝ γὰρ ἐφόρε⌜ι, τὸ δὲ ἦν χι⌝τὼν παχὺς ⌜καὶ τραχὺς ἅ⌝τε ἄγναπ⌜τος, κατὰ τὴν ἀ⌝ριστερὰν χεῖ⌜ρα ῥαφὴν οὐκ⌝ ἔχων, διὸ ⌜καὶ ἑτερομάσχα⌝λος ἦν. ἀχ⌜ειρίδωτος δὲ⌝ ὢν τοὺς ὤ⌜μους παρεῖχε γυ⌝μνοὺς ὁρᾶσθα⌜ι, παρὸ καὶ ἐ⌝ξωμὶς ἐκα⌜λεῖτο. οὐ μόνον⌝ δὲ χιτὼν ⌜ἡ ἐξωμίς, ἀλ⌝λὰ καὶ πε⌜ρίβλημα⌝. ~ ⌜V⌝CΦUΩ

ἢ καὶ προ⌜καλέσηται⌝: τὸ προκα⌜λεῖσθαι τοῦ προσκα⌝λεῖσθαι δ⌜ιαφέρει· προσ⌝καλεῖται μὲν ⌜γὰρ οἰκέτης εἰς⌝ βάσανον, ⌜προκαλεῖται δὲ⌝ εἰς δίκην ὁ ⌜ἀντίδικος⌝. ~ ⌜V⌝CΦUΩ

δέδια* κτλ.] ⌜ὁ Κυνικὸς οὗτο⌝ς Διογένης ἦν ⌜μὲν Σινω-

---

5 κατὰ V; καὶ ΦUΩ ‖ 6 coni. sch. 7 ⟨ἐλέγετο δὲ τὸν π.⟩ V ‖ 7 ἐντετυπῶσθαι post 8 Φοῖβον V | καὶ τῷ V ‖ 7. 8 τὸν δεξιὸν — μηρὸν C ‖ 16 τῇ om. C ‖ 17 τῶ pro τε C ‖ 20 ὅτι ὁ πυθαγόρας ἐξ. ἐφόρει κτλ. C ‖ 21 ἀριστερὰν πλευρὰν Arethas in Dion. Chrys. 72, 1 (p. 126 Sonny), cf. 4, 66 (p. 100)

πεὺς⌝ ἀπὸ τοῦ Εὐξείνου ⌜πόντου, ἀργυρ⌝αμοιβὸς δὲ ⌜ὢν καὶ διὰ τὴ⌝ν μετὰ Κύρου στρα⌜τείαν, μεθ' οὗ καὶ⌝ Κλέαρχος ⌜συνεστράτευσε⌝, δημευθεὶς ⌜ἐφυγαδεύθη⌝ καὶ καταλα⌜βὼν Ἀθήνας⌝ Ἀντισθέ⌜νει προσεταιρισθεὶς συνῆν ⌜τῷ ἀνδρὶ δι⌝ὰ βίου. ἀποθα⌜νόντος δὲ Ἀν⌝τισθένους ἀπε⌜χθῶς ἔχων τ⌝οῖς ἠθεσι τῶν ⌜λοιπῶν Ἀθη⌝ναίων εἰς Κύρι⌜νθον ἐχωρίζε⌝το καὶ πρὸς τὸ Κρά⌜νιον ὀνομαζ⌝όμενον ἐνην⌜λίσθη ὕπαι⌝θρος πίθον ἔχων ⌜εἰς οἴκησιν⌝. ἀναμερισάμε⌜νος δὲ τὰ εἰ⌝ς τὴν δίαιταν ⌜Κορίνθῳ καὶ⌝ Ἀθήναις κατὰ ⌜τὸ πρόσφορον⌝ τῶν καιρῶν καὶ τὰς ⌜διατριβὰς⌝ ἐποιεῖτο, χει⌜μῶνος μὲν Ἀθ⌝ήναις ἐπιδημῶν ⌜ἀλέας χάριν⌝, ἔαρος δὲ καὶ θέρους ⌜Κόρινθον⌝ κατοικῶν τῷ ⌜μὴ πνιγώδ⌝η τότε Κόρινθον ⌜εἶναι ἀλλ' ἀ⌝ναψύχεσθαι παν⌜ταχόθεν⌝ ἀφ' ἑκατέρας θα⌜λάττης τοῖ⌝ς ἀνέμοις κατα⌜πνεομένη⌝ν. ἦν δὲ τὸ ἐπιτήδευμα παρ⌝ρησιαστὴς καὶ ⌜πολλὰ τοὺς ἀ⌝συνέτους ἐλέγχων ⌜καὶ παύειν ἐπ⌝ιχειρῶν αὐτοὺς τῆς ⌜ἀνοίας τε καὶ κ⌝ορύξης. φέρον⌜ται δὲ αὐτοῦ παρ⌝ὰ Δίωνι τῷ Προυσαεῖ καὶ διάλογοι πρὸς Ἀλέξανδρον τὸν Μακεδόνα, ὑπηνίκα πρὸς Πελοπόννησον διαβὰς Κορίνθου ἐπέ⌜βη Ἀλέξαν⌝δρος. παρὰ πάντα τοιγαροῦν τὸν ἑαυτοῦ βίον οὕτως ἀτημελῶς βιώσας καὶ πρόνοιαν ἑαυτοῦ ὅσα γε πρὸς τὸ ⌜σῶμα οὐδ' ἡ⌝ντινα πεποιημένος ἀλλὰ πάντα τὰ ὑπ' ὀδόντα ἐδώδιμα οἰόμενος καὶ θηρίων βουλόμενος οὐδὲν ἄνθρωπον διαφέρειν ⌜τὸ πρὸς τὴν⌝ τροφὴν ἄσκευον σηπίᾳ περιτυχὼν ὠμῇ καὶ ᾠοῖς, ἅπερ οἱ τῇ ⌜Ἑκάτῃ ἐν ταῖς νουμηνίαις τὰ δεῖπνα ⌜ἐπὶ τῶν τριό⌝δων ποιοῦντες ἐτίθεσαν, ταῦτα φαγὼν οὕτως, ὡς εὗρε, κατὰ τὸ κράτιστον ἀπεπτήσας οὕτως ἐξέθανεν. ∼ ⌜V⌝φ

⌜στρατεύομαι δὲ⌝ ὥσπερ ἐκεῖνος: καὶ γὰρ ⌜Ἡρακλεῖ 8
Εὐρυσθεὺς ὁ Μυκηνῶν βασιλεὺς τοὺς ἄθλους ἐπέτατεν. ∼ ⌜V⌝φUΩ

---

7 πρὸς φ; εἰς V ‖ 9 τὸ scripsi; τὴν φ ‖ 9. 10 κατὰ τὰς ὥρας τοῦ ἔτους Dio Chrys. VI 2 ‖ 10 καὶ om. φ ‖ 17 cf. IV 16 ‖ 25 οἱ om. V | cf. sch. Dial. mort. I 1

9 *ὀπισθογράφων* βιβλίων*] *τουτέστι πυγὴν γεγραμμένων, πεπονημένων.* ~ ΓUΩ

12 *τὸν Κυρηναῖον*] *τὸν Ἀριστιππον λέγει.* ~ Ω

14 *αἰνίγματα — ἢ γρίφους*] *σημείωσαι. διαφέρει γρῖφος καὶ αἴνιγμα, ὅτι τὸ μὲν αἴνιγμα ὁμολογεῖ τις ἀγνοεῖν, τὸν δὲ γρῖφον ἀγνοεῖ δοκῶν ἐπίστασθαι. οἷον αἴνιγμα μέν ἐστι τὸ 'τί δίπουν; τί τρίπουν; ⟨τί τετράπουν;⟩' ἐνταῦθα δὲ δῆλον τὸ ἐρώτημα. γρῖφος δὲ οἷον '"Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν ἀνήρ"· ἐνταῦθα δοκεῖ μὲν εἰδέναι τὸ ῥηθέν, ἀγνοεῖ δέ, ὅτι Διομήδης ἦν ἀνὴρ Ἀχιλλεύς· ἐκείνην γὰρ ἔσχε μετὰ τὴν Βρισηίδα.* ~ UΩ

15 *καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι κτλ.*]
σός, παμβέβηλε, καὶ θεὸς ⌜ ⌝
πλὴν καὶ θεοὺς ἔχειν σε τοιούτους πρέπει
σοφὸν μὲν τυγχάνοντα ταῖς αἰσχ⌜ουργίαις.⌝ ~ ⌜U⌝

16 *σείριον*: *τὸν Ὠρίωνος κύνα, ὃς ἐπιτέλλων τῷ σφοδρῷ τῶν καυμάτων σεσηρέναι ποιῶν τοὺς ἀνθρώπους σείριος ὀνομάζεται.* ~ UΩ

17 *νόμους νομίζω τοὺς ἐμούς*] *ὡς οὐαί σοι, τρισάθλιε, χάριν τῶν νόμων.* ~ U

19 *παρόσον* δυσσεβέστερος*] ⌜*δυσσεβ⌝έστερον αὐτὸν λέγει τὸ ⌜ἄθεον αὐτ⌝οῦ διασύρων. τὸ ⌜δεῖνα δὲ⌝ ἐπὶ τῶν εὐτελ⌜στέρων· οὕ⌝τω χρῶνται τῷ ἀο⌜ρίστῳ τ⌝ὸ εὐτελὲς θερα⌜πεύοντ⌝ες. ἰσχάδας δὲ ⌜καὶ τὰ μ⌝ελιτώδη προὐβά⌜λ⌝λετο δ⌝ιὰ τὸ γλυκὺ καὶ τὸ ⌜ἡδύ, α⌝ἰνιττόμενος τὸ ⌜λεῖον τῆς ἡδονῆς καὶ τὸ προση⌝νές.* ~ ⌜V⌝ΦUΩ

---

1 *τουτέστιν* παραγεγραμμένων Ω, *περιγεγραμμένων* U; vix sanum ‖ 7 *δίπους* Ω | *τὸ* U | *τρίπους* Ω | *τί τετράπουν* add. Diels coll. schol. in Aristid. III 509, 3 Dind. ‖ 10 *τὸ ῥηθέν* om. U ‖ 11 *ἐκείνων — κατὰ* UΩ; cr. Diels coll. sch. Aristid. | *τὴν* om. Ω ‖ 13 post *θεὸς* legi *σε* (vel *και*) *δη*? $\overset{\tau}{\delta}$ ‖ 14 post *πρέπει* legi $\overset{\tau}{\pi}$ ‖ 17 *ἄνους* UΩ, cf. sch. Ver. hist. I 16; tamen cf. Etym. s. v. *σειραίνω*: — *παρὰ τὸ σεσηρέναι· τοὺς γὰρ κύνας διαχάσκειν τότε ποιεῖ* ‖ 23 cf. sch. Bis acc. 23. Dial. mer. XII 5 ‖ 24 *καὶ* ante *ἰσχ.* add. Φ ‖ 25 ult. *τὸ* om. UΩ

παλάθας* τῶν Καρικῶν] ὡς τῆς Καρίας διαφόρους παλάθας ἀπὸ τῶν σύκων φερούσης εἶπε τοῦτο. παλάθη δέ ἐστι σφαῖρα ἀπὸ συγκοπῆς σύκων συμπλαττομένη. ~ VCΦUΩ

ἐοίκασι* κτλ.] ἐπειδὴ πολλοὶ τῇ ἀτοπίᾳ τῶν σοφισμάτων 20
⌜ἐπισημα⌝ινόμενοι παρεγίνοντο ἐπὶ τὴν ἀγοράν, ὅπου τῆς ἐπιδείξεως χάριν προῄει Χρύσιππος, διὰ τοῦτο νῦν τοῦτο λέγει, ⌜ὅτι πολλ⌝οὶ τοῦτον ἐπὶ τὴν ἀγορὰν περιμένουσιν. ~ ⌜V⌝ΦUΩ

οὐ γὰρ ἐφ' ἡμῖν ταῦτα: τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν 21
φασιν οἱ ἀπὸ τῆς Στοᾶς, τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἐφ' ἡμῖν μὲν ὑπόληψιν, ⌜ὁρμήν, ὄρεξιν, ἔκκλισιν⌝· ἔξεστι γὰρ τούτοις ἅτε ἡμετέροις ἔργοις οὖσι καὶ χρῆσθαι καὶ μή. οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις, ἡ δόξα, αἱ ἀρχαὶ καὶ ὅσα οὐκ ἡμέτερα ἔργα ἀλλὰ τῆς τύχης δοκεῖ. ταῦτα δὲ καὶ ἀδιάφορά φασι τὰ οὐκ ἐφ' ἡμῖν· ἔξεστι γὰρ αὐτοῖς καὶ καλῶς χρήσασθαι καὶ μὴ οὕτως, ὡς ἂν δοκῇ τῷ, ᾧ περιγέγονε ταῦτα. τούτων δὲ τῶν ἀδιαφόρων τὰ μέν φασι προηγμένα, τὰ δὲ ἀποπροηγμένα, καὶ τούτων τὰ μὲν περὶ
m ψυχ⌜ὴν⌝ εἶναι ὡς εὐφυΐαν, ⌜προ⌝κοπήν, γνώμην, ὀξ⌜ύτη⌝τα διανοίας καὶ τὰ π⌜αρα⌝πλήσια, τὰ δὲ ⌜πε⌝ρὶ σῶμα ὡς ὑγίειαν, ε⌜ὐαι⌝σθησίαν, ἰσχὺν καὶ τὰ ⌜ὅμοια⌝, τὰ δὲ περὶ τὰ ἐκτὸς ⌜ὡς⌝ εὐτεκνία, κτῆσις σύ⌜μμετρος⌝, ἀποδοχὴ παρὰ ἀν⌜θρώπων καὶ⌝ εἴ τι τοιοῦτο. ὡσαύ⌜τως δὲ⌝ τριχῶς φασι
s καὶ τὰ ἀ⌜πο⌝προηγμένα, ἅπερ κατὰ ⌜τὸ ἐ⌝ναντίον ἐστὶ τοῖς πρ⌜ογη⌝μένοις καὶ κατὰ τὸ τριτ⌜τὸν⌝ τῶν, περὶ ἃ ὁρᾶται, περὶ ⌜ψυχήν⌝ φημι καὶ σῶμα καὶ τ⌜ὰ ἐκ⌝τός, ὡς ἀνωτέρω παρεθέμεθα. ἡ δὲ κ⌜ταληπτι⌝κὴ φαντασία τοια⌜ύτη παρ'⌝

---

1 ὡς — 2 τοῦτο om. C ‖ 2 ἀπὸ Φ; τῆς ἀπὸ VUΩ ‖ 2. 3 π.· μάζαι σύκων Phot. | συκῶν συγκοπῆς C ‖ 10 lemma om., superscr. σχολιον π? κειωσ? σελίδος· σύνοψ⌜ marg. decurt.⌝ V | cf. Epicteti ench. 1 ‖ 18 φησι V | cf. Stob. ecl. II 80, 16 Wachsm., sch. Bis accus. 22 ‖ 20 μνήμην pro γνώμην Stob. II 81, 1 ‖ 22 αἰσθητηρίαν Stob. | ἰσχὺν om. Stob.; ante εὐαισθ. posuit sch. Bis acc. 22 ‖ 23 τέκνα Stob. et sch. Bis acc. 22

αὐτοῖς λέγεται· καταλ⌈ηπτικὰς⌉ ἔλεγον φαντασίας ⌈τὰς⌉ ἀπὸ ὄντων ὡς ἂν ⌈ὄντων⌉ ἐναπομοργνυμένας ⌈τῷ νῷ⌋ σαφῶς γνώσεις ἢ ἐξ ⌈ὧν ἄν⌉ τις τεκμαίροιτο, ⌈οὐ κα⌉ταληπτικὰς δὲ ⌈τὰς μὴ⌉ οὕτως ἐχούσας, ὡ⌈ς αἱ ἐξ⌉ ὑπονοίας ψιλῆ⌈ς ἐγγινό⌉μεναι. ἔλεγον δὲ τῶν καταληπτικῶν τὰς διὰ τῶν αἰσθητηρίων αἰσθητικὰς καὶ τὰς μὲν ταῖς αἰσθητικαῖς συγκαταθέσε⌈σι γινο⌉μένας αἰσθήσεις, τὰς δὲ ταῖς καταληπτικαῖς καταλήψεις. λέγεσθαι δὲ αἴσθησιν καὶ κατ' ἄλλον τρόπον τό τε αἰσθη⌈τήριον⌉ καὶ τὸ ἡγεμονικὸν καὶ τὴν τοῦ ἡγεμονικοῦ καθάπερ αἰσθητοῦ κατάληψιν. καὶ ὥσπερ, φασί, χρεία εἰς τὰς ἀπὸ τῶν δακτυλίων σφραγί⌈δας κη⌉ροῦ ἢ πηλοῦ εἰργασμένου καλῶς καὶ εὐτυπώτου καὶ τῆς ἐξ ἡμῶν ἐπερείσεως καί τινων ἄλλων, οὕτως καὶ ἐπὶ τῶν αἰσθητικῶν φαντα⌈σιῶν⌉ εὐτυπώτου τε τοῦ ἡγεμονικοῦ καὶ πολλῶν ἐστιν ἄλλων χρεία, εἰ μέλλοι τῷ ὄντι γίνεσθαι τοιοῦτος ὁ τύπος ἀπὸ τοῦ ὄντος καὶ κατ' α⌈ὐτὸ ἐντετυπωμένος⌉. ~ φ⌈V⌉

σύμβαμα τὴν χωλείαν*] ἀλλ' ἐπιτριβείης, κατάρατε, πάντα γελοίως ὑπὸ τὴν γλῶσσαν στρέφων καὶ τὰ σοφὰ πάντα τοῖς παιγνιώδεσι παραβάλλων, οἷον καὶ νῦν πεποίηκας. τῶν διαλεκτικῶν γὰρ τῶν μὲν ἄλλων προτάσεις λεγόντων τὰς ἐξ ὀνόματος καὶ ῥήματος αὐτοτελῶς συντιθεμένας εἰς ἀποφαντικοῦ λόγου γένεσιν, ὡς τὸ 'Σωκράτης περιπατεῖ', 'Δίων διαλέγεται', καὶ ὑποκείμενον μὲν λεγόντων τὸ ὄνομα ἢ τι τῶν ὀνόματος χρείαν ἀποτελούντων, κατηγορούμενον δὲ τὸ ῥῆμα, οἱ Στωικοὶ ἐθελακριβεῖς ὄντες καὶ ξενίζουσιν ἀγαπῶντες ὀνόμασι χρῆσθαι τὴν μὲν αὐτοτελῆ πρότασιν

---

1. 2 τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην Laert.VII 1,46 ‖ 2 σαφῶς τῷ νῷ φ ‖ 5 τὰς δὲ τῶν V ‖ 11 φησὶ Vφ | δακτυλίων scripsi; δακτύλων Vφ ‖ 16. 17 ἐντετυπωμένου φ ‖ 20 ὅσον Ω | καὶ νῦν UΩ; καινοὺς φ ‖ 21 τῶν (prius) om. UΩ ‖ 22 τὰς Φ; ὡς UΩ | αὐτοτελῶν ΦUΩ; cr. Hemsterhuis | συντεθειμένας UΩ ‖ 25 τί φ; τὴν UΩ | ὀνόματος scripsi; ὀνομάτων ΦUΩ | ἀποτελοῦν Hemsterhuis ‖ 26 ὄνομα pro ῥῆμα φ

οἷον τὴν 'Σωκράτης περιπατεῖ' αὐτοὶ σύμβαμά φασιν ἢ κατηγόρημα· συμβέβηκε γὰρ τὸ περιπατεῖν Σωκράτει· τὴν οὐκ αὐτοτελῆ δὲ ἀλλά τινος ἐνδεᾶ, οἷον 'Σωκράτει μεταμέλει' ἢ 'Σωκράτης φιλεῖ' ἢ 'Σωκράτει μέλει', ταύτας οὖν ὠνόμασαν τὴν μὲν 'Σωκράτει μεταμέλει', ἐπεὶ μὴ κατ' εὐθεῖαν πτῶσιν τὸ ὄνομα ἐλήφθη, κἂν αὐτοτελές ἐστιν, αὐτοὶ παρασύμβαμά φασιν ἢ παρακατηγόρημα ὡσανεὶ παρακείμενον τῷ συμβάματι ἢ κατηγορήματι, τὴν δὲ 'Σωκράτης φιλεῖ', ἐπειδὴ λείπει τὸ τίνα, κἂν κατ' εὐθεῖαν ἐλήφθη ὁ ὑποκείμενος, ἀλλ' οὖν, ἐπεὶ μὴ αὐτοτελὴς ἡ πρότασις, ἔλαττον ἢ κατηγόρημά φασιν αὐτήν, ὅτι μὴ τέλειόν ἐστι κατηγόρημα, τὸ δὲ 'Σωκράτει μέλει' ἔλαττον λέγουσιν ἢ κατηγόρημα, ὅτι τε πλαγία πτῶσις ὁ ὑποκείμενος καὶ ἐνδεῶς ἡ πρότασις ἔχουσα· λείπει γὰρ τὸ τίνος μέλει. οὕτω μὲν οὖν οὗτοι. ὁ μέντοι Λουκιανὸς λόγον ἀνεῦρεν ἐπὶ τούτων τὸ σπούδασμα τῶν σοφῶν ἐπὶ τὸ γελοιότατον μεταφέρων. ~ ΦUΩ

κροκόδειλος*] τὸν κροκόδειλον λόγον ἐν τούτῳ γοῦν καλῶς ποιῶν διαπαίζει φορτικὸν τῷ ὄντι καὶ σοφισματώδη, ὥσπερ καὶ τούτους, οὓς μικρὸν ἔμπροσθεν διακωμῳδήσει, τὴν Ἠλέκτραν, τὸν ἐγκεκαλυμμένον, τὸν θερίζοντα καὶ τὸν κυρίττοντα, μιαρὰ καὶ κατάπτυστα σοφίσματα καὶ μηδὲν πλέον τῆς φλυαρίας ἐπαγγελλόμενα. ~ Ω 22

γνίφωνα] ἐλέγχει τοὺς Στωικοὺς γνίφωνας ὄντας χαίρειν τῷ συλλογισμῷ ἤτοι τῷ χρήματα συλλέγειν· εἰς τοῦτο γὰρ τὸ συλλογίζεσθαι μεταλαμβάνει σκώπτων εὐφυῶς. ~ ΦUΩ 23

καὶ μὴν τοὐναντίον ἔφης κτλ.] στέρησις τῶν ἀληθῶν τὰ ψευδῆ. ποσαχῶς ἡ ἄγνοια; ὁσαχῶς ἡ ἐπιστήμη. ἡ οὖν ἐπιστήμη τριττή· ἢ γάρ, ὅταν γινώσκωμεν ἀμφοτέρας τὰς 24

---

4 ταῦτα φ | exsp. *ταύτας ἄλλως ὠνόμασαν· τὴν μὲν γὰρ κτλ.*, sed fort. nil mutandum ‖ 6 *εἴληπται* UΩ ‖ 8 *ἢ κατηγορήματι* om., tum *τὸ δὲ* UΩ ‖ 9 *κἂν* om. φ ‖ 11 *καλοῦσιν αὐτήν* UΩ ‖ 12 *τῷ* φ ‖ 15 exsp. *λόγον ἀνεῦρεν ἐπίτριπτον, τὸ* ‖ 16 *σοφῶν τὸ ἐπὶ* UΩ ‖ 25 alt. *τῷ* om. UΩ ‖ 28 *ἄνοια* U

προτάσεις ἐνεργείᾳ κατὰ τὸ δεύτερον σημαινόμενον· οἷον ἥδε ἡμίονός ἐστι, πᾶσα ἡμίονος ἄτεκνος, καὶ ἥδε ἄρα ἄτεκνος· δεύτερον, ὅταν τὴν μείζω πρότασιν γινώσκωμεν, καὶ τρίτον, ὅταν τὴν ἐλάττω. οὐκοῦν καὶ ἡ ἄγνοια τριττή, εἴτε ἀγνοοῦμεν ἀμφοτέρας τὰς προτάσεις, οἷον ὅταν θεασάμενοι ζῷον μήκοθεν νομίσωμεν αὐτὸ εἶναι ἡμίονον, ἔτι δὲ καὶ ὠγκωμένον θεασάμενοι τὴν γαστέρα, νομίσωμεν, ὅτι ἔγκυόν ἐστι, καὶ πλέξωμεν οὕτως· ἥδε ἡ ἡμίονος ὠγκωται τὴν γαστέρα, πᾶν ὠγκωμένον τὴν γαστέρα ἔγκυόν ἐστι, καὶ ἥδε ἄρα ἡ ἡμίονος. δεύτερος τρόπος τῆς ἀγνοίας, ὅταν τὴν καθόλου γινώσκοντες ἀγνοῶμεν ⌜τὴν ἐ⌝λάττω· οἷον ἴσμεν, ὅτι πᾶσα δυὰς ἀρτία ἐστίν, οὐκοῦν εἰ ἔροιτό τις, ὅτι πᾶσα, ἥδε ἡ δυὰς ἀρτία ἐστίν; ἐροῦμεν ὅτι ναί· εἶτα δὲ καὶ ἥδε ἡ δυὰς ἡ κεκρυμμένη; ⌜ἐροῦμεν ὅτ⌝ι οὔ· καὶ συνάγει ὅτι αὐτὸ οἶδα καὶ οὐκ οἶδα, οὐκ εἶπον δέ, ὅτι ἡ δυὰς οὐκ ἔστιν ἀρτία, ἀλλ' ὅτι οὐκ ἤδειν, εἰ δυάς ἐστιν. ταὐτὸ καὶ ἐπὶ τοῦ κεκρυμμένου ⌜Ὀρέστου· ἡ γὰρ Ἠλ⌝έκτρα ἤδει αὐτὸν καὶ οὐκ ἤδει ὡς κεκρυμμένον. τρίτος τρόπος ἀγνοίας, ὅταν τὸ μὲν μερικὸν ἴσμεν, τὸ δὲ καθόλου οὔ, οἷον οἶδα, ὅτι ⟨ὅδε ὁ⟩ ἐλλέβορος ⌜καθαίρει⌝, οὐ μὴν εἰ καὶ πᾶς ἐλλέβορος οἶδα· καὶ ἥδε ἡ θριδακίνη ψύχει, οὐ μὴν καὶ εἰ πᾶσα. οὕτως ἔστιν ἐναντία φρονεῖν τῷ πράγματι. ἑαυτοῖς δὲ ἔστι φρονεῖν ἐναντία, ὅταν ⌜τὸ⌝ ἐναντίον ⌜διὰ⌝ συλλογισμοῦ πλέξωμεν ἢ δι' αὐτοῦ τοῦ ὅρου ἢ δι' ἄλλου καὶ ἄλλου· οἷον ἡ ἡδονὴ κατὰ φύσιν, ἡ ⌜ἡδονὴ οὐ κατὰ φύσιν· καὶ⌝ διὰ μὲν τοῦ κατὰ φύσιν συνάγει, ὅτι ἀγαθόν, διὰ δὲ ⌜τοῦ οὐ κατὰ φύσιν⌝, ὅτι οὐκ ἀγαθόν· διὰ δὲ ἄλλου καὶ ἄλλου, ὅταν τὰ ἐναντία δοξάζῃ· οἷον

---

2 et 3 ἄτεκνος scripsi; ἄτακτος UΩ ‖ 5 ὅταν ἀγν. Ω | ἀμφότερα U ‖ 7 τὴν γαστ. om. U | νομίσομεν et 8 πλέξομεν UΩ ‖ 8 ὡς pro ἡ U ‖ 10 τῆς om. Ω ‖ 12. 13 fort. τις, ⟨εἰ,⟩ ὅτι ‖ 15 συνάγειs U | αὐτὸ om. U ‖ 17 καὶ om. U ‖ 19 ὅταν καὶ U ‖ 20 ὅδε ὁ addidi ‖ 25. 26 fort. in U scriptum erat κατὰ φύσιν ἡμῖν διὰ μὲν, om. cet. ‖ 28 τὸ ἐναντίον U

ἡ ἡδονὴ ἀγαθὸν διὰ μέσου τοῦ κατὰ φύσιν· ἡ ἡδονὴ οὐκ ἀγαθὸν διὰ ⌜μέσου τοῦ ἀτελοῦς⌝. ~ ⌜U¹Ω

τὸν μὲν ἐξωτερικόν: διὰ τοὺς λόγους φησίν, οὓς Ἀριστο- 26
τέλης οὕτως καλεῖ, ἐσωτερικοὺς τοὺς διαλεκτικούς, ἐξωτερι-
κοὺς τοὺς ῥητορικούς. τὰ δὲ ἐπὶ τούτοις, τὸ τῆς θαλάσ-
σης βάθος ὁπόσον εἰδέναι καὶ τὸν κώνωπα ὁπόσον βιοῖ
καὶ τὴν τῶν ὀστρείων ψυχὴν καὶ τὴν ἐν μήτρᾳ πλαστι-
κήν, ταῦτα πάντα διασύρων εἴρηκε τὰς πραγματείας Ἀρι-
στοτέλους τὰς ζωολογικάς, τὰς ἀνατομικάς, τὰς μετεωρο-
λογικὰς καὶ εἴ τις ἄλλη ταύταις ἔξῆς. ~ φUΩ

τρία εἶναι ἀγαθὰ κτλ.] Ἀριστοτέλην λέγει [cf. Eth. Nic. A 8. 1098 b 13]. ~ φΩ

οὐκ ἂν φθάνοις: ἀντὶ τοῦ τάχιστ' ἂν ὠνήσῃ αὐτὸν ἔχων ἐλπίδα παρ' αὐτοῦ εὐπορουῦντος ἀποίσεσθαι τὸ καταβληθέν σοι. ~ φUΩ

τὰ πάντα πλὴν δραπέτην μεταδιώκειν] τοῦτό φησιν, 27
ἐπειδὴ ἀκαταληψίαν ἐπρέσβευεν. αὕτη δὲ ἡ ἀκαταληψία, τὸ μηδὲν ἐφικνεῖσθαι πρὸς λῆψιν ἀλλὰ πάντα διαδιδράσκειν αὐτήν, οὐδὲν εἰς γνῶσιν ἔχειν δοκεῖ. διὰ τοῦτό φησιν ὁ Πύρρων ἀδυνάτως ἔχειν δραπέτην μεταδιώκειν ἤτοι ὅτι ‘τὰ τὴν γνῶσιν ἀποφυγγάνοντα οὐδὲ ἑλεῖν οἷός τέ εἰμι’. ~ φUΩ

28. Ἀναβιοῦντες ἢ Ἁλιεύς.

πάντες ἅμα κτλ.] ὡραῖον. ~ ΓV 1

ἐκεῖνος σώσειέ με κτλ.] ὡραῖον πάνυ. ~ ΓV 3

μὴ κατὰ τοὺς πολλοὺς τῶν νῦν φιλοσόφων*] ἀντὶ 5
τοῦ μὴ ⌜κατὰ τοὺς νῦν⌝ φιλοσό⌜φους⌝. ~ ⌜V¹UΩ

κατὰ τοὺς ῥήτορας] ⌊ἐπεὶ παρ⌜αδειγματικῇ⌝ κέχρηται ⌜τῇ 7
πίστει, αὕτη δὲ⌝ μερική⌋, ⌜τούτου χάριν⌝ ἐστὶ ῥητορική· οἱ

---

2 ἀτελοῦς suspect. ‖ 3 τὸ φUΩ ‖ 4. 5 ἐξωτ. τοὺς ῥητ. om. UΩ ‖ 8 πάντα φ; πλάττων καὶ UΩ ‖ 11 ἀριστοτέλης φΩ ‖ 13 cf. sch. Tox. 2. Apol. 11 ‖ 17 ἐπρέσβευσεν U ‖ 18 fort. τῷ | μηδενὸς UΩ

γὰρ διαλεκτικοὶ ἀπὸ τῶν καθόλου τὰς πίστεις περαίνουσιν. ~ ⌊B⌋⌈V⌉ΦUΩ

9 τοῦτο ἐκεῖνο τὸν ἵππον ἐς πεδίον: ⌊⌈παροιμία ἐπ⌉ὶ τῶν, ὁπηνίκα ⌈ἀπόροις ἐ⌉νέχωνται, ἀξιούν⌈των τι τοιοῦ⌉το, ὃ λύσιν μὲν⌋ ⌈δοκεῖ παρ⌉έχειν βραχεί⌈αν καὶ ἄνεσι⌉ν, τὸ δέ ἐστι ⌈μέγα καὶ πρὸς ἐπ⌉ίδειξιν συν⌈τεῖνον τῆς το⌉ῦ ἐπιζητοῦντος ⌈δυνάμεως. τ⌉ί γὰρ ⌈καταλληλότερον⌉ ἵππῳ πεδίου ⌈πρὸς τὸ τὴν οἰκε⌉ίαν ἐπιδείξασθαι ἀρε⌉τήν; παράλ⌈ληλοι ταύτῃ⌉ τῇ παροιμίᾳ ⌈καὶ αὖται ‘ὕ⌉δωρ βατρα⌈χῳ’ καὶ ‘στέαρ γ⌉αλῇ’ ⌈καὶ ‘Λυδῷ πράγ⌉ματα’. ~ C⌊B⌋⌈V⌉ΦΩ

10 τὸ πρὸ δίκης: προσυ⌊πακου⌋στέον τὸ καταψηφίζεσθαι. ~ ⌊B⌋ΦUΩ

τὸ ἐν τῇ χειρὶ δίκαιον: ἀντὶ τοῦ ⌊ἐν τῇ⌋ δυνάμει, ἐν τῷ βιάζ⌊εσθαι⌋. ~ C⌊B⌋ΦUΩ

ὕδατος] τοῦ δικαστικοῦ ὕδατ⌊ος, πρὸς ὃ⌋ τοὺς λόγους οἱ διαδικαζ⌊όμενοι⌋ ἐποιοῦντο. ~ ⌊B⌋ΦUΩ

11 ἐντυγχάνων ἄν τισι τριβώνια περιβεβλημένοις κτλ.] ⌊τὸ αὐτὸ νῦν τις περὶ μοναχῶν καὶ ἐπ⌊ισκόπ⌋των εἰκάζων οὐ πόρρω τοῦ σώ⌊φρονος λ⌋ογισμοῦ πεσεῖται· σκεύεσι ⌊γὰρ θεοβλα⌋βείας καὶ χρώμασι περιηνθι⌊σμένοι ἐς τὸ⌋ πᾶν τοῦ ἀληθοῦς ἐστερήμεθα. ~ ⌊B⌋

12 ἦν κοσμουμένη κτλ.] ὡραῖον. ~ Γ

Ἰξίονα] φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ἐρασθῆναι, ἐρασθέντι δὲ τὴν Ἥραν χαριζομένην αὐτῷ νεφέλην εἰς ἑαυτὴν ἀπεικάσασαν ἐᾶν Ἰξίονι χρῆσθαι ὡς ἑαυτῇ. ἀφ᾽ οὗ καὶ οἱ Κένταυροι ἀρχὴν τῆς γενέσεως ἔσχον. καὶ τὸ σύμπτωμα εἰς ὄνομα ἔλαβον· παρὰ γὰρ τὸ τὴν αὔραν κεντεῖν τὸν Ἰξίονα ἐπὶ τῇ γενέσει Κένταυρος τὸ ἀπ⌊ὸ τούτου ἐκλήθη⌋. ~ ⌊B⌋ΦUΩ

---

8 παράλληλοι post 9 παροιμίᾳ φ ‖ 11 coni. sch. 13 (τὸ δὲ ἐν κτλ.) φ ‖ 20 θεοβλαβείας (prim. α ex parte servat.) Diels ‖ ἐς τὸ Diels ‖ 23 similia leguntur in Vat. 942 (quocum consentit cod. Voss., cf. ed. Iacobitz.): ὅτι ὁ ἰξίων λαπίθης τὸ γένος ὢν ἠγάγετο ὅταν τὴν ἠονέως κτλ.

τί Πλάτων κτλ.] ἐντεῦθεν τῷ λόγῳ τούτῳ ἐπιγραφὴ τὸ 14
Ἀναβιοῦντες. ~ BUΩ

τέως περιπατήσατε κτλ.] ὡραῖον. ~ Γ 16

Ἀλήθεια κτλ.] ⌊εὐφυέστατον τοῦτο ⌊τὸ τ⌋ῆς εἰδωλοποιίας
⌊ἐπὶ⌋ τῆς ἀληθείας. ~ ⌊B⌋K

Σολέας* κτλ.] ⌊ὅτι Σολεὺς Ἄρατος ὢν Ἑλληνικῇ παιδείᾳ 19
τοσοῦτον διήνεγκεν, ὥστε τὰ Φαινόμενα Ἑλλάδι φωνῇ
γράψας ἐθαυμάσθη. καὶ Ζήνων δὲ ὁ τῆς Στοᾶς κοσμή-
τωρ τε καὶ καθηγητὴς ἐκ Κιτίου⌋ τῆς Κύπρου ὡρμᾶτο.
καὶ δὴ καὶ Κράντωρ καὶ ⌊Χρύσιππος ἄμφω Σολεῖς οὐκ
ἄσημοι κατὰ φιλοσοφίαν καὶ μάλιστα Χρύσιππος. ἀμέλει
δὴ καὶ Ἀριστοτέλης Σταγειρίτης καὶ Δημόκριτος καὶ Πρωτα-
γόρας Ἀβδηρῖται, ἀλλ' οὐ δήπου ξενίας διώκονται, ὅτι
μὴ ἐκ μέσης, φασίν, Ἑλλάδος ἰθαγενεῖς ὄντες εὑρίσκονται,
θαυμάζονται δὲ μᾶλλον. ~ ⌊B⌋CΦΩ. Addit B: ὡς σχεδὸν
Ἕλληνας παρευδοκιμηκότες τῇ περὶ λόγους ἀσκήσει τε καὶ
μεταχειρίσει. ~

εὖ λέγεις κτλ.] ὡραῖον. ~ Γ 20

μία*] τῶν ἐναντίων ἤτοι τῶν ἀντικειμένων τὴν αὐτὴν ἐπι-
στήμην φασίν· ὁ γὰρ τὸ δεξιὸν ὡς δεξιὸν ἐπιστάμενος
πολὺ πρότερον ἐπίσταται τὸ ἀριστερὸν καὶ ὁ τὸ νοσερὸν
ὡς νοσερὸν εἰδὼς οἶδε ⌊καὶ τὸ ὑγιεινόν⌋· ὡσαύτως ἐπὶ
γενέσεως ⌊καὶ φθορᾶς⌋, μειώσεως καὶ αὐξήσεως ⌊καὶ τῶν
παραπλησίων, ἃ ὑπὸ τὰ ἀντικείμενα τελεῖ⌋. τοῦτ' οὖν
φησι πρὸς τὸν Παρρησιάδην⌋ νῦν διατεινόμενον ἀποι⌊μα-
θεῖν⌋ τἀναντία τῷ μισεῖν ⌊καὶ τὴν κα⌋τ' αὐτὰ τέχνην, ὡς
οὐκ ἔστι το⌊ῦτο⌋, ἐπεὶ τῶν ἀντικειμένων ἡ αὐ⌊τὴ γνῶσις⌋. ~
⌊B⌋ΦŪΩ

ἐν τοσούτῳ*] ἀντὶ τοῦ ἐν τῷ μεταξὺ χρόνῳ. ~ BΦ 21

μέλαιναι*] ἐψηφοφόρουν ἐν τοῖς δικαστηρ⌊ίοις⌋ οἱ δικά-

---

1 τὸ om. UΩ ‖ 12 δὴ BΦΩ; om. C | ὁ σταγ. C ‖ 14 φησι BΦΩ; om. C ‖ 22 ὡσαύτως καὶ UΩ ‖ 23 φθορᾶς καὶ UΩ ‖ 26 ταυτὰ B; κατὰ ταῦτα UΩ ‖ 29 cf. sch. Tox. 12 ‖ 30 ἐψηφηφόρουν Bachmann, Anecd. Paris. II 372, 33

ξοντες ψήφοις ταῖς ἀπὸ τῶν κυάμ⌊ων⌋ τὴν ἑαυτῶν γνώμην ἐκφαίνοντες τοῖς δ⌊ικα⌋ζομένοις. τῷ μὲν οὖν νικῶντι λευκοὺς ἀπεδείκνυσαν τοὺς κυάμους, τοῖς δὲ ἡττη⌊θεῖσι⌋ μέλανας· ᾧτινι δὲ τῶν δικαζομ⌊ένων κατὰ⌋ τὸ πλέον αἱ τῶν ψήφων ἀντίχρωμοι ⌊ἀπε⌋φαίνοντο, τούτῳ κατὰ τὸ κεκρατη⌊κὸς ἔθος⌋ καὶ τὸ νικᾶν ἢ ἡττᾶσθαι ἐπεβρα⌊βεύ⌋ετο. καὶ τὸ μὲν τῶν κυάμων. ∼ ⌊B⌋CUΩ. Addunt CUΩ: τοιοῦτον τῷ χρώματι μετὰ ποσοῦ τὴν τῶν δικαζόντων ῥοπὴν ὑποδεικνύντων. ἦσαν δὲ καὶ ἕτεραι ψῆφοι δικαστικαὶ λίθινοι δύο, ὧν ἡ μὲν πλήρης ἡ δὲ διατετρημένη, ἀμφότεραι ἐπὶ τοῦ ἐν τῇ τραπέζῃ τῇ δικαστικῇ καδίσκου ἀποκείμεναι, αἳ πρὸς τὴν ἀπόφασιν τῶν δικαζόντων ἐπεδίδοντο τοῖς κρινομένοις, οὐ τῷ ποσῷ τὴν γνώμην τούτων ἐκφαίνουσαι, ἀλλὰ τῷ ὁλοκλήρῳ καὶ μὴ ἐπιμαρτυροῦσαι τὴν τῶν κρινομένων ἤτοι σωτηρίαν ἢ καταδίκην· τῷ μὲν γὰρ νικῶντι ἡ πλήρης, τῷ δὲ ἁλόντι ἡ τετρυπημένη ἐδίδοτο, ὡς δῆλον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου [79] πεποίηκε ὁριμέως ἄγαν τῇ τετρυπημένῃ τὴν τοῦ Τιμάρχου ἀσέλγειαν παραστήσας. ∼

22 ἂν γένοιτο πρὸς τὴν δίκην κτλ.] ὡραῖον. ∼ Γ

προηγορίαν] τὸ πρότερον εἰπεῖν ἢ [τὸ] ἀγορεῦσαι. ∼ BφK

ξυμφόρει ἐς τὸ αὐτὸ κτλ.] μάταιε, τί διασιλλαίνεις τοῖς σκώμμασι τὰ τοῦ Πλάτωνος παρὰ πᾶσιν ἀνθρώποις θαυμαστήν τινα καὶ ἀνάλωτον τὴν δόξαν ἀπενεγκάμενα; ∼ B

23 εἰ γάρ τι καὶ πρὸς ἀλλήλους κτλ.] τοῦτό φησιν, ἐπειδὴ Κυνικὸς ἦν Διογένης καὶ τῷ τῆς ζωῆς παραλλάττοντι διάφορος τῇ τε Στοᾷ καὶ τῇ Ἀκαδημίᾳ. ∼ B

τοῦτο ὑπερμάχει: ἀντὶ τοῦ κατασκεύαζε· ἐπεὶ κυρίως τὸ ὑπερμαχεῖν γενικῇ συντάσσεται. τὸ γὰρ πρό τινός τι ποιεῖν

---

5 ἀντίχρωμοι sic codd.; aliunde ignotum ‖ 7 τοιοῦτο Ω ‖ 8 fort. τοῦ ποσοῦ ‖ 10 cf. sch. Bis acc. 35 ‖ 21 alt. τὸ om. K ‖ 24 num ἀναλλοίωτον? ‖ 28 τοὖ B | C inc. ὅτι τὸ ὑπερμαχεῖν γεν. | ἐπεὶ om. Φ

αὐτοῦ χάριν καὶ ὑπὲρ αὐτοῦ γενικῇ συντάσσεται, οἷον ὑπερασπίζω σου, προΐσταμαί σου, προπολεμῶ σου, οὕτως οὖν καὶ ὑπερμαχῶ σου. ~ BCΦΩ

ξύλῳ*] ⌊εἰς τὰς τῶν φιλοσόφων βακτηρίας ἐπισκώπτει· διαπαίζει γὰρ αὐτοὺς⌋ ὡς τοῖς σχήμασι μόνοις φιλοσοφοῦντας. ~ ⌊B⌋ΦΩ. Addit B: ὃ καὶ νῦν εἰκότ⌊ως⌋ ἄν τις χ⌊αριεν⌋τίσαιτο ἐπὶ τῶν τοῖς σχήμασι τοὺς μοναχοὺς ἐπιδεικνυμένων. ~ 24

ἐν Διονύσου*] Διονυσίοις γὰρ μόνοις ἐφεῖτο τὸ θέατρον ποιηταῖς κωμῳδοῖς. ταῦτα δὲ δὶς τοῦ ἔτους ἐπετελεῖτο, ἔαρος καὶ φθινοπώρου, ἔαρος τὰ μικρὰ Διονύσια, φθινοπώρου δὲ τὰ μεγάλα. ~ BCVΦΩ 25

Μένιππον*] ὁ Μένιππος οὗτος Κυνικὸς ἦν φιλόσοφος κατὰ τὸν Σεβαστὸν [M. Antonini Comment. 6, 47] φύσει κεχρημένος γενναίᾳ καὶ ἐλεγκτικῇ τε καὶ ἀποτόμῳ καλῶς τε τὸν Κύνα καὶ ἐμφιλοσόφως μετιών, ὡς καὶ παρὰ πᾶσι τὸ εὐδόκιμον ἀποφέρεσθαι. ~ BCVΦΩ 26

λέγε ἤδη ἐν τῷ μέρει* κτλ.] ἀντὶ τοῦ τὸ σὸν μέρος· ῥεῖ γὰρ ἤδη τὸ κατὰ σὲ ὕδωρ ἀπὸ τοῦ δικαστικοῦ ἀμφορέως. ἰστέον γάρ, ὡς τοὺς πολλοὺς ἐπισχεῖν βουλόμενοι τῆς ἀπεράντου φλυαρίας οἱ δικασταὶ τῶν ῥητόρων ὑδρίας ὕδατος πληροῦντες διά τινος διατρήματος παρεῖχον τῷ ὕδατι ἔκροιαν κελεύοντες τὸν ῥήτορα λέγειν ἐν ἀρχῇ τῆς ἀφέσεως τοῦ κρουνίσκου· ἅτε οὖν πρὸς μέτρον τοῦ ὕδατος τὸν λόγον ποιούμενοι συνέτεμνον τὸν λόγον. ~ BCVΦΩ 28

τῶν καθ' ἡμᾶς κτλ.] τί ταῦτα τοῖς καθ' ἡμᾶς ἔοικε μοναχοῖς. ~ B 30

τούτου* τὸν ἐπώνυμον] Διογένους τοῦ Κυνικοῦ. ~ V 32

---

2 προπολεμῶ σου om. Φ ‖ 4 ἀποσκώπτει Ω ‖ 5 τῷ σχήματι μόνον Φ ‖ 7 χαριεντίσαιτο Brinkmann ‖ 9 ὅτι διονύσια μόνοις C ‖ 11 ἔαρος μὲν τὰ Bachmann, Anecd. Par. II 373, 13 ‖ 11. 12 φθινοπώρῳ C ‖ 13 ὅτι ὁ μέν. ὁ κυν. φιλ. C ‖ 14 τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς κλευασταὶ οἷον Μένιππος M. Anton. l. l. | σεβ. ὧν φύσει C ‖ 15 τε om. C | καλῶς κτλ. om. C ‖ 18 ἀντὶ — 19 ἀμφορέως om. C

34 *ἐπὶ μισθῷ διδάσκουσι κτλ.*] ὡραῖον. ~ ΓV

36 *μέσους αὐτοὺς κτλ.*] ὡραῖον. ~ ΓV

πυρριχίζειν] εἶδος ὀρχήσεως ἡ πυρρίχη σύντονον. ~ BVφUΩ

37 *Ἡρακλῆς* — καὶ πίθηκος*] παροιμία ἐπὶ τῶν πάντῃ παρηλλαγμένων καὶ ἀσυμβάτων πραγμάτων, καθότι ⌊ἥρως⌋ μὲν Ἡρακλῆς καὶ αὐτόχρημα ἀνδρεῖος, ⌊οἱ⌋ πίθηκοι δὲ οὔτε ἀνδρείαν ἔχοντες καὶ ⌊καταγέλαστοι καὶ εὐφώρατοι ἀνδρείαν ⌊ὑ⌋ποκρίνεσθαι εἰσαγόμενοι. ~ ⌊B⌋CVφΩ

38 *Ἰλιέων*] τὸ Ἴλιον πόλις ἐστὶ Φρυγίας, τῆς Ὁμήρου τὸ κεφάλαιον δραματουργίας. ~ BK

τραγῳδὸν κτλ.] ὡραῖον. ~ ΓV

καὶ αὐτός] ἐκ Διογένους ὁ λόγος. ~ B

42 *Τάλω**] ὁ μὲν Τάλως ἥρως παλαιὸς ἐν τῇ Ἀκροπόλει τεθαμμένος, τὸ δὲ Ἀνάκειον τῶν Διοσκούρων τὸ ἱερόν· Ἄνακες γὰρ οἱ Διόσκουροι λέγονται. ~ VBφΩ

45 *αὐτοπυριτῶν**] αὐτοπυρίτης ἄρτος ὁ λιτὸς καὶ σχεδίως ὠπτημένος ἢ πρὸς ἥλιον ἢ πρὸς τῇ σποδιᾷ, ὃν καὶ ἐγκρυφίαν φασίν. ~ BCVφΩ

τὸ μὲν χρυσίον ὡς φιλάργυροι ἔχοντες ἀνευρίσκονται, τὸ μύρον ὡς τρυφᾶν εἰωθότες, τὸ κάτοπτρον ὡς εὐθετίζοιεν τὸ πρόσωπον ἐπὶ τὸ σεμνότερον καὶ τὴν ὑπήνην, οἱ κύβοι δὲ δεῖγμα σχολῆς ἀκαίρου καὶ ἀκολάστου διαίτης. ~ BVφΩ

47 *ἰσχάδας μοι δὸς ἀνύσασα*: περιττὸν τὸ ἀνύσασα, Ἀττικὸν μέντοι. αὐτοὶ γὰρ καὶ 'παίζεις ἔχων' φασὶ καὶ 'ἑκὼν εἶναι' καὶ ἄλλα τούτοις παραπλήσια. ~ CBVΩ

48 *ἐκ τῶν βραγχίων ἀπηρτημένος*] σημείωσαι, πῶς ἐχρήσατο τῷ ἀπηρτημένος, ὁμοίως καὶ τῷ μὰ Δί'. ~ B

---

3 *σύντονον*, cf. Etym.; *σύντομος* codd. ‖ 7 *μὲν ὁ* V ‖ 15 cf. sch. Conv. 9. 24. Tim. 10 ‖ 18 *ἢ καὶ τῇ σπ.* V | cf. sch. Lexiph. c. 2—4. Dial. mort. VI 4 ‖ 25 *μοί τινας* Luc. ‖ 26 cf. Luc. Icarom. 24 c. schol. ‖ 27 *εἶναι καὶ τὸ ἀμέλει καὶ* C ‖ 29 *ὅμως* B

ἀλλ' ἦν ἰδού*] *ἠθικὸν ἐπίφθεγμα τοῦτο καὶ ἀφελές· καὶ* 51
ἔστι δεικτικὸν ἠνί τὸ ὁλόκληρον· ἐκτέθλιπται γάρ. ~
BCVΦΩ

*ἄγραν**] ⌊*προσυπακουστέον τὸ πάρεχε.* ⌊*ἔστι δὲ καὶ*⌋ *τοῦτο*
ἠθικόν, ὥσπερ καὶ τὸ 'ἀλλ' ὅ⌊πως⌋ μὴ πλήξῃς'· προσ-
υπακούε⌊ται γὰρ⌋ τὸ σκόπει. ~ ⌊B⌋VΦΩ

φέρ' ἴδω κτλ.] *εὐφυῶς μάλα καὶ τόδε διεκωμῴδησε τῶν*
βουλομένων μὲν τὴν Χρυσίππου αἵρεσιν μετιέναι τοῦ παν-
τὸς μάλιστα ταῖς διαλεκτικαῖς ἐρεσχηλίαις λαλιστάτου, οὐκ
ἐχόντων δὲ ὅτι καὶ εἶποιεν τῶν αὐτοῖς περιεχομένων. ~ B
καυτηρίων δεησόμεθα] *κεκαυτηριασμένος κυρίως ὁ μὴ* 52
ἔχων ὑγιῆ τὴν συνείδησιν. ~ ΩM

29. *Δὶς κατηγορούμενος.*

*ἀφηνιάσαντες**] *τὸν χαλινὸν ἀπορρίψαντες.* ~ ΓVΦUΩ 1
*βλακεύωσιν**] *ἀντὶ τοῦ μετὰ ἀργίας διαμέλλοντες τῶν* 2
ἔργων ἅπτωνται· τὸ γὰρ βλακεύειν ἐπὶ τῶν μετὰ θρύψεώς
τι ἐπιτελούντων λέγεται. ~ VΦUΩ
*Νεμέᾳ**] *Νεμέα ἐστὶ τόπος ἐν τῇ Κορίνθῳ παρὰ τὸν*
Τρητὸν λεγόμενον, οὗ Ἡρακλῆς τὸν λέοντα φονεύσας τὰ
Νέμεα ἐπιτελεῖσθαι κατήρξατο. ἐν ταύτῃ τῇ Νεμέᾳ πρὸ
τοῦ Ἡρακλῆ τὸν λέοντα κατεργάσασθαι οἱ βουκόλοι ἀγρυ-
πνότατοι καὶ φιλοπράγμονες ἦσαν φόβῳ τοῦ μή τι παθεῖν
ὑπὸ τοῦ λέοντος τὰ βουκόλια. ~ VCΦUΩ
*μερμηρίζω**] *μεριμνῶ.* ~ Γ
ἑώλους δίκας*] *ἑωλός ἐστιν ὁ χθεσινὸς ἄρτος ὁ μὴ δα-* 3

---

1 cf. Dial. mort. XX 10 ‖ 2 *ἠνί* ante 1 *ἠθικὸν* C | *τὸ — γάρ* om. C | *γάρ* om. VΩ | fort. *γὰρ τὸ τ.* ‖ 8. 9 fort. *πάντων* ‖ 10 *τῶν — περιεχομένων* vix sana ‖ 11—12 cf. Epist. ad Timoth. I 4, 2 *κεκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν* ‖ 16 *ἅπτονται* codd. ‖ 18 *τῆς Κορινθίας ἐστὶ γῆς πρὸς τῷ Τρητῷ* sch. Dial. deor. VII | *τὸν* om. Vφ ‖ 24 *μερμερίζω* Γ text. ‖ 25 *ἑωλόν* ΓΦ

πανώμενος τῇ πρώτῃ ἡμέρᾳ. ἑώλους οὖν δίκας λέγει τὰς φυλαττομένας. ~ ΓVΦ

εὐρῶτος]* σήψεως. ~ ΓV

καὶ μάλιστα ὁπόσαι ταῖς ἐπιστήμαις κτλ.]* καὶ μάλιστα ὅσαι εἰσὶ παρὰ τῶν τεχνῶν, οἷον ὅτι γραμματικὴ κρείττων ἰατρικῆς ἢ ῥητορικὴ γραμματικῆς. ~ ΓVUΩ

ὑπερημέρους]* παραβαινούσας τὴν προθεσμίαν, τουτέστι διασυρούσας. ~ ΓVΦUΩ

4 *ἐφέντι*]* ἔκκλητον δεδωκότι. ~ ΓVUΩ

ἐξ ὑπαρχῆς]* ἄνωθεν. ~ ΓVUΩ

σεμνὰς θεάς: τὰς Ἐρινύας· τούτων γὰρ τὸ ἱερὸν πλησίον τοῦ Ἀρείου πάγου. ~ ΓVΦUΩ

5 *ὁ τοῦ Σωφρονίσκου*]* τὸν Σωκράτην λέγει. ~ VΩ

ἀλεκτρυόνα]* ὁ γὰρ Πλάτων ἐν τῷ Φαίδωνι [118 A] τὸν θάνατον Σωκράτους διηγούμενος εἰσάγει αὐτὸν ἐν τῷ μέλλειν τελευτᾶν ἐπιτρέποντα τυθῆναι τῷ Ἀσκληπιῷ τὸν ἀλεκτρυόνα, ὃν συνετάξατο. ~ ΓVΦU

6 *μεστοὶ δὲ οἱ περίπατοι κτλ.]* ὡραῖον. ~ Γ

7 *δεδίττονται*]* ταράττουσιν. ~ ΓV

προσποιεῖσθαι]* ἰδιοποιεῖσθαι. ~ ΓVΩ

προεπεξενῶσθαι]* ἀπὸ πολλοῦ ξενοδοχηθῆναι. ~ ΓVΩ

8 *ὅτι τὸ ἐκλελῆσθαι αἰτιατικῇ συντάττεται.* ~ CVΦΩ

δευσοποιόν]* τὸ ἀνέκπλυτον βάμμα. ~ ΓVΦΩ

9 *πνύκα*]* τὴν ἐκκλησίαν τῶν Ἀθηναίων. ~ ΓVΦΩ. Addunt VΦΩ: παρὰ τὸ πεπυκνῶσθαι. *πάγος* δὲ ὁ ὑψηλὸς τόπος, παρὰ τὸ πεπηγέναι καὶ συνεστάναι πρὸς ὕψος. ~

τὸν Πᾶνα τῶν Διονύσου θεραπόντων κτλ.]* ἁρμοδίως ὡς ἴδιον υἱὸν ἐπαινεῖ αὐτόν. ~ VΩ

Παρθένιον]* ὄρος τῆς Ἀρκαδίας. ~ ΓVΦΩ

Δάτιδος]* Δαρεῖος ὁ Περσῶν βασιλεὺς κατὰ τῆς Ἑλλάδος

---

2 *μήπω τελεσθείσας ἀλλὰ* ante *φυλαττ.* add. Solanus 5 *παρὰ* ΓVΩ; *περὶ* U | *τῶν* om. VU ‖ 8 *διαπαρασυρούσας* V; vix sanum ‖ 24 cf. sch. Iov. trag. 11 ‖ 25 *πάγος ὁ* — 26 *ὕψος* etiam in C ‖ 29 *τῆς* om. V

στρατεύων οὐ δι' ἑαυτοῦ ἦλθεν ἀλλ' ἔπεμψε Λᾶτιν στρατηγόν, ὃς ἐλθὼν εἰς Μαραθῶνα ἡττήθη παρὰ τῶν Ἀθηναίων. ~ ΓVΦΩ

σπήλυγγα*] σπήλαιον. ~ ΓVΩ

Πελασγικοῦ*] τόπος Ἀθήνησιν ἀπὸ Πελασγῶν ἐν αὐτῷ οἰκησάντων. γράφεται δὲ καὶ διὰ τοῦ ρ̄. ~ ΓVΩ

κυδοιμὸν* κτλ.] πόλεμον. λέγουσι γάρ, ὅτι Πὰν συμμαχήσας τοῖς Ἀθηναίοις ἐν Μαραθῶνι πολλοὺς τῶν βαρβάρων ἐφόνευσεν. ~ ΓVΦΩ 10

ὄρειος*] ἐν ὄρεσι διαιτώμενος. ~ ΓVΦ 11

ἀστικά*] πολιτικά. ~ ΓV

πρὸς τὸ ὄρθιον*] ἀντὶ τοῦ ἐπὶ τὸ μεῖζον καὶ ὀξὺ τῆς φωνῆς. ἐς τὸ ἀκριβέστατον δὲ ἔγραψε τὸ τῶν φιλοσόφων ἐν ταῖς διαλογικαῖς συνουσίαις σύμπτωμα. ~ VΦΩ

τεθήπασιν*] θαυμάζουσιν. ~ ΓVΩ

ἅλις ἔχοιμι: ἀντὶ τοῦ ἅλις ἔσχον ἤγουν ἀρκούντως· οὕτω γὰρ τὰ εὐκτικὰ ἐν τῇ συμφράσει παραλαμβάνεται, ὁπότε μήτε κατ' εὐχὴν κεῖται μήτε ἀντὶ ὑποτακτικοῦ ῥήματος, οἷον 'οὗτος δὲ ὁπότε εἰσέλθοι, κακὰ πολλά με εἰργάζετο'· ἀντὶ γὰρ τοῦ εἰσῆλθεν. ~ CVΦΩ 12

ἀργυραμοιβική*] τραπεζιτική. ~ ΓVΦΩ 13

τοῦ* ῥήτορος] ὁ ῥήτωρ οὗτος εἷ αὐτός, κακόδαιμον Λουκιανέ. ~ VΦΦΩ 14

Σύρῳ] διὰ τὸ Σύρον εἶναι τὸν ῥήτορα. ~ ΓVΦ

καί* μοι ἤδη κάλει αὐτόν] εἰσελθὼν ὁ Πολέμων εἰς τὸ δικαστήριον παρίσταται τοῖς δικασταῖς. ~ ΓVΦΩ 17

ἐν χρῷ κέκαρμαι*] ὅτι οἱ Στωικοὶ τὰς κεφαλὰς ἦσαν διόλου κεκαρμένοι, ὡς οἱ μοναχοὶ νῦν. ~ VCΦΩ 20

μορμολυττομένη*] ταράττουσα. ~ ΓV

---

2 τῶν Γ; om. cet. ‖ 6 δὲ om V ‖ 7 ὅτι V; ὁ Γ; ὅτι ὁ ΦΩ ‖ 13 δὲ Ω; om. VΦ ‖ 14 διαλεκτικαῖς Ω ‖ 16 ἔχοιμι vel ἔχει μοι vel ἔχοι μοι vel ἐμοὶ Luciani codd. | ἔχον, om. ἤγ. ἀρκ., Φ | ἀρκοῦντος C ‖ 16. 17 οὐ γὰρ CΦ ‖ 17 ὁπότ᾽ἂν CΦ ‖ 27 cf. sch. Hermot. 18

ἀφηνιάσαι*] φυγεῖν. ~ ΓV

μηδὲ τῶν* θεῶν φείδεται] διὰ τοὺς Ἐπικουρείους ὑπέκρουσεν ἀθέους μὲν ὄντας ἡδονὴν δὲ πρεσβεύοντας. ~ VφCΩ

τὸν ὑμέτερον Θησέα*] Ἀθηναῖος γὰρ ὁ Θησεύς, Ἀθηναῖοι δὲ οἱ δικάζοντες. ~ ΓVφ

21 ἀγκύλους* ἐκείνους λόγους] τοὺς περιεστραμμένους, λέγει δὲ τοὺς συλλογισμούς. ~ ΓVφΩ

Ἐλέου βωμόν*] βωμὸς ὑπῆρχε παρ' Ἀθηναίοις τοῦ Ἐλέου, ἐν ᾧ οἱ ἀδικούμενοι, ἵνα ἐλεηθῶσι, κατέφευγον. ~ ΓVφ

τὴν τοῦ Ἅϊδος κυνῆν*] τὴν τοῦ Ἅιδου περικεφαλαίαν. λέγουσι δέ, ὅτι ὁ ταύτην φορῶν οὐκέτι ἐφαίνετο. ~ ΓVΩ

ἀνδριάντι*] τοῦτο γὰρ δόγμα τῶν Στωικῶν ὡς ἀνδριάντι χρήσασθαι τῷ σώματι. ~ VΩ

22 κακὸν ἡγῇ τὸν πόνον; ναί. τὴν ἡδονὴν δὲ ἀγαθόν; πάνυ μὲν οὖν: τριχῶς ἔλεγον οἱ Στωικοὶ τὸ ἀγαθόν. τὸ μὲν γὰρ πρῶτον καὶ οἷον πηγῆς ἔχον χώραν, ὃ καὶ ἀφορίζονται ἀγαθὸν εἶναι λέγοντες, ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι τῷ πρώτως εἶναι αἰτίαν καὶ ὑφ' οὗ. δεύτερον καθὸ συμβαίνει ὠφελεῖσθαι, ὥσπερ εἰ θερμαινόμενός τις ψύχους τῆς νόσου ἀπαλλάττεται· οὐ γὰρ τὸ θερμαίνειν ἀλλὰ τὸ θερμαίνεσθαι αἴτιον τῆς ὠφελείας. καὶ τρίτον ἔλεγον ἀγαθὸν κοινότερον καὶ ἐπὶ τὰ εἰρημένα διατεῖνον τὸ οἱονεὶ ὠφελοῦν, ὅπερ οὐ τοῦ ὄντως ὄντος περιδράττεται ἀλλὰ τοῦ ἐν ὑπολήψει. ὁμοίως τούτοις καὶ τὸ κακὸν εἶναι τριττόν, τό τε ἀφ' οὗ συμβαίνει βλάπτεσθαι, ὡς ὁ καιόμε-

---

2 ὅτι οἱ ἐπικούριοι ἄθεοι ὄντες ἡδ. μόνην ἐπρέσβευον C; cf. Usener, Epicur. p. 277 ‖ 7 τοὺς συλλ. τοὺς διεστραμμένους Ω ‖ 9 cf. sch Demon. 57 ‖ 12 ὁ Ω; om. ΓV ‖ 15 cf. Stob. Ecl. II 69, 17 W; de additamentis scholii iudicat Wachsmuth Ecl. vol. I p. XXII: "si quis paullo accuratius examinaverit, verba et commenta magistelli Byzantini agnoscet, qui plerumque ne sententiam quidem Stoicorum assecutus sit" ‖ 19 τὸ δὲ πρ. εἶ. αἴτιον Stob. ‖ 19 τῷ — 20 ὠφελεῖσθαι om. φ ‖ 20 καθ' ὃ Stob. ‖ 21 θερμαῖνον edit. ‖ 24 οἷον ὠφελεῖν Stob.

νος ἀπὸ πυρός, καὶ τὸ καθ' ὅ, ὡς ὁ χειμῶνος ὕπαιθρος διανυκτερεύσας, καὶ τὸ κοινότερον καὶ ἐπὶ τὰ ὄντως ἀναφερόμενον, ὡς εἰ φάσκοι τις πρὸς τὴν αἴσθησιν ἀποβλέπων τὸν σωφροσύνης ἕνεκεν πόνοις αὐτὸν ἐκδόντα ἀνιαρῶς διακεῖσθαι. τούτων δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός, εἴτε περὶ σῶμα εἴτε καὶ περὶ τὰ κυρίως ἐκτός, τὰ δὲ οὔτε κατὰ ψυχὴν οὔτε ἐκτός, ὥσπερ ὅσοι φιλίαν μὲν πρὸς ἡμᾶς ἤ τινα σχέσιν οὐκ ἔχουσι τῷ μηδὲ γνωστοὶ ἡμῖν εἶναι, ἄλλως δὲ σπουδαῖοί εἰσι καὶ ἔχοντες ἀρετάς. ἀναλόγως τούτοις καὶ τὰ κακὰ τριττὴν ἔχει διαφοράν. καὶ ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναί φασι διαθέσεις ὡς τὰς ἀρετάς, τὰ δὲ ἕξεις ὡς τὰ ἐπιτηδεύματα, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις ὡς αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι, οἷον ἡ φρονίμευσις, ἡ δικαίωσις καὶ τὰ παραπλήσια. ἀνάλογον καὶ αἱ περὶ ψυχὴν κακίαι ὡς φθόνος καὶ φθονερὸς καὶ φθόνησις. καὶ αὖθις τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ καὶ τελικὰ καὶ ποιητικά. ὁ μὲν οὖν φρόνιμος ἄνθρωπος καὶ ὁ φίλος ποιητικὰ ἀγαθά, χαρὰ δὲ καὶ εὐφροσύνη καὶ θάρρος καὶ φρονίμη περιπάτησις τελικὰ μόνον, αἱ δὲ ἀρεταὶ πᾶσαι καὶ τελικὰ καὶ ποιητικά· καὶ γὰρ ἀποτελοῦσι τὴν εὐδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς γινόμεναι. ἀνάλογον δὲ καὶ ἐπὶ τῶν κακιῶν κατὰ τοὐναντίον τῆς εὐδαιμονίας προϊουσῶν· καὶ γὰρ ὁ κακὸς καὶ ἄφρων καὶ ὁ ἐχθρὸς ποιητικὰ κακά, λύπη δὲ καὶ δυσελπιστία καὶ φόβος καὶ ἀφρονικὴ περιπάτησις καὶ πλημμελὴς κίνησις τελικὰ μόνον. αἱ δὲ κακίαι πᾶσαι καὶ τελικὰ καὶ ποιητικά· καὶ γὰρ

---

1 καθ' ὅ Stob. II 70, 6; καθὰ Vφ ‖ 2 τὰ οὐκ ὄντως ὄντα Wachsmuth 7 περὶ pro κατὰ Stob. II 70, 9 ‖ 13. 14 διαθέσεις τὰς — ἐνεργείας cet. Stob. II 71, 4 ‖ 14 ἤ pro οἷον φ | οἷον φρόνησιν Stob. ‖ 15 et 22 ἀναλόγως edit. | φθόνος κτλ. vix sana ‖ 19 ποιητικὰ μόνον Stob. II 72, 1 ‖ 21 ἀπογεννῶσι Stob. ‖ 25 ποιητικὰ μόνον Stob. II 72, 9 | δυσελπιστία om. Stob. ‖ 26 ἀφρονικὴ περιπ. et πλημ. κίν. om., κλοπὴ et ἄφρων ἐρώτησις add. Stob. | μόνα φ ‖ 27 πᾶσαι om. Stob.

ἀποτελοῦσι καὶ συμπληροῦσι τὴν κακοδαιμονίαν. σῶμα δὲ ἐδόξαζον καὶ τὴν διάνοιαν καὶ τὴν ψυχὴν καὶ τὰς ἀρετάς, ψυχὴν μὲν τὸ συμφυὲς καὶ ἔνθερμον ἐν ἡμῖν πνεῦμα λέγοντες καὶ ζῷον εἶναι αὐτὴν καὶ ζῆν καὶ αἰσθάνεσθαι μάλιστα τὸ ἡγεμονικὸν αὐτῆς μέρος, ὃ καὶ διάνοιαν καλοῦσιν. ἀλλὰ καὶ πᾶσαν ἀρετὴν ζῷόν φασι, ζῴου δὲ τοῦ ἀνθρώπου ὄντος λογικοῦ θνητοῦ φύσει πολιτικοῦ καὶ τὴν ἀρετὴν πᾶσαν τὴν περὶ ἄνθρωπον καὶ τὴν εὐδαιμονίαν καὶ τὸ τέλος λογικὰ εἶναί φασι καὶ τὴν μὲν εὐδαιμονίαν ζωὴν ἀκόλουθον εἶναι καὶ ὁμολογουμένην τῇ φύσει, τὸ δὲ τέλος ὁμοίως τὸ ὁμολογουμένως ζῆν, τοῦτο δέ ἐστι τὸ κατὰ ἕνα λόγον καὶ σύμφωνον ζῆν ὡς τῶν μαχομένως ζώντων κακοδαιμονούντων. Διογένης δὲ αὐτὴν εὐλόγιστον ζωὴν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ καὶ ἀπεκλογῇ. τριχῶς δὲ τὸ τέλος φασί, τὸ τελικὸν ἀγαθόν, ὡς ἐν τῇ φιλοσυνθεσίᾳ τὴν ὁμολογίαν λέγουσι τέλος εἶναι, καὶ τὸν σκοπὸν οἷον τὸν ὁμολογούμενον βίον, καὶ τρίτον τέλος τὸ ἔσχατον τῶν ὀρεκτῶν, ἐφ' ὃ πάντα τὰ ἄλλα ἀναφέρεται. τὰ δὲ μεταξὺ τῶν ἀγαθῶν καὶ κακῶν ἀδιάφορα λέγουσιν, οἷον νόσον, ὑγίειαν, πλοῦτον, πενίαν, σχολὴν, ἀσχολίαν, καὶ ταῦτα διχῶς νοοῦσι, καθ' ἕνα μὲν τρόπον τὸ μήτε ἀγαθὸν μήτε κακόν, καθ' ἕτερον δὲ τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς ποιητικόν, ὡς τὸ περιττὰς ἢ ἀρτίους ἔχειν τὰς τρίχας. ἀλλὰ καὶ τῶν ἐν ἡμῖν καὶ περὶ ἡμᾶς τὰ μὲν εἶναί φασι κατὰ φύσιν, τὰ δὲ παρὰ φύσιν, τὰ δὲ οὔτε κατὰ φύσιν οὔτε

---

1 ἀπογεννῶσι Stob. | σῶμα κτλ. cf. Stob. Ecl. II 64, 19 sq. | 5 καὶ μάλιστα Stob. II 65, 2 ‖ 6 ἀλλὰ κτλ. cf. Stob. II 75, 7 | ζῴου Stob.; ζῶον Vφ ‖ 9 καὶ τὸ — εὐδαιμ. om. Stob. ‖ 10 τῇ om. Stob. ‖ 10. 11 τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε· τὸ ὁμ. ζ. Stob. ‖ 11 alt. τὸ om. Stob. ‖ 12 μαχομένων ζώων Stob. 13 Διογ. δὲ εὐλογιστεῖν ἐν τῇ κτλ. Stob. II 76, 9 ‖ 14 τριχῶς κτλ. cf. Stob. II 76, 16 ‖ 15 τῇ φιλολόγῳ συνηθείᾳ Stob. ‖ 18 ἐφ' ᾧ — ἀναφέρεσθαι Stob. | τὰ δὲ κτλ. cf. Stob. II 79, 4 ‖ 22 μήτε ἀφορμῆς om. φ ‖ 24 τὰ μὲν κτλ. cf. Stob. II 79, 18 | τὸ μὲν φ 25 τὰ δὲ παρὰ φύσιν om. φ | τὸ δὲ οὔτε φ | οὔτε παρὰ — οὔτε κατὰ Stob.

παρὰ φύσιν· κατὰ φύσιν μὲν ἰσχύν, ὑγίειαν, αἰσθητηρίων ἀρτιότητα, παρὰ φύσιν δὲ νόσον, ἀσθένειαν, πήρωσιν καὶ τὰ τοιαῦτα, οὔτε δὲ παρὰ φύσιν οὔτε κατὰ φύσιν ψυχῆς παράστασιν καὶ σώματος, καθὸ ἡ μέν ἐστι φάσεων ψευδῶν δεκτική, ὡς ἐπὶ τῶν ἀλογίστως ἐνισταμένων καὶ καρτερούντων, τὸ δὲ τρωτὸν καὶ πηρώσεως δεκτικὸν καὶ τὰ ὅμοια τούτοις. τῶν δὲ ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα, τὰ δὲ οὐδέτερα· καὶ τῶν προηγμένων τὰ μὲν περὶ ψυχὴν εἶναι ὡς εὐφυΐαν, προκοπήν, γνώμην, ὀξύτητα διανοίας καὶ τὰ παραπλήσια, τὰ δὲ περὶ σῶμα ὡς ὑγίειαν, ἰσχύν, εὐαισθησίαν καὶ τὰ ὅμοια· ἐκτὸς δέ ἐστι τέκνα, κτῆσις σύμμετρος, ἀποδοχὴ παρὰ ἀνθρώπων καὶ τὰ ὅμοια. τριχῶς δὲ καὶ τὰ ἀποπροηγμένα φασὶν ἀναλόγως τοῖς προηγμένοις καὶ ἀπονέμουσιν ἑνὶ ἑκάστῳ τῶν τριῶν τῶν ἐπ' ἐκείνοις ἀποδοθέντων τὰ ἀντικείμενα, οἷον περὶ ψυχὴν ἀποπροηγμένα ἀφυΐαν, ἀπροκοπίαν, δυσμάθειαν, νωθρότητα διανοίας καὶ τὰ ὅμοια, περὶ δὲ σῶμα καχεξίαν, ἀσθένειαν, δυσαισθησίαν, περὶ δὲ τὰ ἐκτὸς πήρωσιν τεκνοποιίας, καταφρόνησιν παρὰ ἀνθρώπων καὶ τὰ ὅμοια. οὔτε δὲ προηγμένα οὔτε ἀποπροηγμένα περὶ ψυχὴν μὲν φαντασίαν καὶ συγκατάθεσιν καὶ ὅσα τοιαῦτα, περὶ σῶμα λευκότητα καὶ χαροπότητα καὶ ἡδονὴν πᾶσαν καὶ πόνον, ἐκτὸς δὲ ὅσα εὐτελῆ ὄντα καὶ μηδὲν χρήσιμον προσφερόμενα μικρὰν παντελῶς παρέχεται χρείαν, ὡς ἥ καὶ παρὰ τῶν ἀνοήτων ἀποδοχή. τῆς δὲ ψυχῆς κυριωτέρας οὔσης τοῦ σώματος πρὸς τὸ κατὰ φύσιν ζῆν δηλονότι καὶ τὰ

---

3 κατὰ — παρὰ Stob. ‖ 4 κατάστασιν Stob. | καθ' ἃς Stob. | φαντασιῶν Stob. ‖ 6 τρωμάτων καὶ πηρώσεων Stob. ‖ 6. 7 τούτοις ὅμοια Stob. | τῶν δὲ κτλ. cf. Stob. II 80, 14 ‖ 8 οὐδετέρως ἔχοντα Stob. ‖ 9 μνήμην pro γνώμην Stob. ‖ 11 ἰσχύν om. Stob.; post εὐαισθ. sch. Vit. auct. 21 | αἰσθητηρίων Stob. | τε καὶ φ ‖ 18 δὲ om. φ ‖ 20 οὔτε δὲ κτλ. cf. Stob. II 81, 11 ‖ 21 μὲν om. Stob. | περὶ δὲ Stob. ‖ 22 καὶ μελανότητα post λευκότητα add. Stob. ‖ 25. 26 οὔσης κυριωτέρας Stob. II 81, 19 ‖ 26 καὶ ante πρὸς add., ante τὰ om. Stob.

περὶ ψυχὴν κατὰ φύσιν ὄντα καὶ προηγμένα τὴν ἀξίαν ἔχει τῶν περὶ τὸ σῶμα καὶ τῶν ἐκτός, οἷον εὐφυΐα ψυχῆς πρὸς ἀρετὴν ὑπερέχει τῆς τοῦ σώματος εὐφυΐας καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἔτι τῶν ἀδιαφόρων ὁρμῆς μὲν κινητικά ἐστιν, ὅσα κατὰ φύσιν, οἷον ἰσχύς, ἀφορμῆς δὲ τὰ παρὰ φύσιν ὡς νόσος, τὰ δ' οὔθ' ὁρμῆς οὔτε ἀφορμῆς ὡς τὸ περιττὰς ἢ ἀρτίους ἔχειν τὰς τρίχας. καὶ ἐπὶ τῶν κατὰ φύσιν ἀδιαφόρων τὰ μέν ἐστι πρῶτα κατὰ φύσιν ὡς κίνησις ἢ σχέσις κατὰ τοὺς σπερματικοὺς λόγους γινομένη οἷον ὑγίεια καὶ αἴσθησις, λέγω δὲ τὴν κατάληψιν καὶ ἰσχύν, κατὰ μετοχὴν δέ, ὅσα μετέχει κινήσεως καὶ σχέσεως κατὰ τοὺς σπερματικοὺς λόγους, οἷον χεὶρ ἀρτία καὶ σῶμα ὑγιεινὸν καὶ αἴσθησις μὴ πεπηρωμένη. πάντα δὲ τὰ κατὰ φύσιν ληπτά ἐστι, φασί, τὰ δὲ παρὰ φύσιν ἄληπτα, καὶ τῶν κατὰ φύσιν δι' ἑαυτὰ εἶναι ληπτά, ὅσα ὁρμῆς ἐστι κινητικὰ καταστρεπτικῶς ἐπ' αὐτὰ ἢ ἐπὶ τὸ ἀντέχεσθαι αὐτῶν, οἷον ὑγίεια, εὐαισθησία, ἀπονία, κάλλος σώματος, τὰ δὲ δι' ἕτερα, ὅσα ὁρμῆς ἐστι κινητικά, ἀνεκτικῶς ἐφ' ἕτερα καὶ μὴ καταστρεπτικῶς, οἷον πλοῦτος καὶ δόξα καὶ τὰ ὅμοια· οὐδὲν γὰρ τούτων δι' ἑαυτὸ αἱρετόν ἐστιν, ἀλλ' ὁ μὲν πλοῦτος διὰ τρυφὴν ἢ εὐεργεσίαν τοῦ πέλας, ἡ δὲ δόξα δι' ἀλαζονείαν, ἡ δὲ ὑγίεια καὶ εὐαισθησία δι' ἑαυτὰ αἱρετά. ~ Vφ

23 τὸ* δεῖνα] ὡς καὶ ἐν τῇ συνηθείᾳ εἰώθαμεν λέγειν ἀορίστως τὸ τοιοῦτο, οὕτως καὶ νῦν οὗτος τὸ δεῖνα εἶπεν ἴσως διὰ τὴν εὐτέλειαν σιγήσας καὶ ἀορίστως προενέγκας καὶ

---

1 τὴν ψυχὴν Stob. | προηγούμενα Vφ; cr. ex Stob. | τὴν εὐεξίαν Stob. ‖ 2 τὸ om. Stob. ‖ 3 ὑπεράγειν Stob. | ὁμοίως ἐπὶ Stob. II 82, 3 ‖ 7 ἀρτίους, cf. p. 142, 23 et 144, 12 ‖ 9 νίκησις V ‖ 10 αἴσθησις (λέγω δὲ τὴν κατάληψιν) καὶ ἰσχύς Wachsmuth ‖ 13 ὑγιαῖνον (vel ὑγαῖνον) καὶ αἰσθήσεις μήτε πεπηρωμένη Stob. II 82, 17 ‖ 14 φ V, ut vid. ‖ 15 καθ' αὐτὰ Stob. 16 κατατρεπτικῶς Stob. | ἐφ' ἑαυτὰ Stob. ‖ 17 καὶ κάλλος Stob. ‖ 19 κατατρεπτικῶς vel παρατρεπτικῶς Stob. ‖ 24 cf. sch. Vit. auct. 19. Dial. mer. XII 5 ‖ 26 καὶ ὅτι suspectum

ὅτι τοῦτο δείκνυσιν· δεῖσαν γὰρ καὶ ὡρισμένως εἰπεῖν οὐδὲ οὕτως τὸ τριώβολον εἶπεν ἀλλὰ τὸ δικαστικόν· ἠσχύνθη γὰρ διὰ τὸ εὐτελὲς τὸ τριώβολον. ~ VφΩ

Ἀργυραμοιβική*] τοῦ Διογένους ταῦτα λέγοντος ἡ Ἀρ- 24
γυραμοιβικὴ φοβηθεῖσα πέφευγεν. ~ ΓVΩ

ὁ Πύρρων ζωγράφος πρότερον ὢν γέγονε μετὰ ταῦτα φιλό- 25
σοφος, ὅστις εἶχε σκοπὸν πάντα ἀναιρεῖν τὰ ὄντα. ~ ΓCVφΩ

ἕωλον*] παλαιάν. ~ ΓVφ

κάνδυν*] ἱμάτιον Περσικόν, ὡς δὲ τινὲς λέγουσιν, ὅτι τὸ 27
Ἀρκαδίκιον. ~ ΓCVφΩ

γενειήτην λέγει τὸν Διάλογον, ἐπεὶ τοῖς εἰωθόσιν αὐτῷ 28
χρῆσθαι φιλοσόφοις μάλα σεμνῶς ἡ βαθεῖα ἠσκεῖτο ὑπήνη. ~ VφΩ

ἄμετρον*] ἄνετον. ~ V

κρότος μὲν ἐπὶ τῶν ῥητορικῶν λόγων καὶ μάλιστα τῶν ἐπιδεικτικῶν ἐν θεάτρῳ λαλουμένων καὶ τῶν ῥητόρων, ὡς ἔθος αὐτοῖς, πεπαρρησιασμένως χειρονομούντων ἐπὶ τοῖς λεγομένοις ὑπ' αὐτῶν. ἐπὶ δὲ τοῖς διαλόγοις τοιοῦτον οὐδέν, ἀλλ' ἅτε πρὸς ἔπος τῶν ἀντιλεγόντων γινομένων τῶν λόγων, ἐν οἷς ποτε ἀστεῖον ῥηθείη, μειδίαμα ἄχρι τοῦ τὰ χείλη διᾶραι τὸ πρόσωπον διαθεῖ μόνον· καὶ εἴ που βραχύ τι δεήσει ἐπισεῖσαι τὴν χεῖρα, καὶ τοῦτο κατὰ μέτριον ἐξανύεται. ~ VφΩ

κακώσεως*] κάκωσίς ἐστιν ὄνομα δίκης κατὰ τῶν ἁμαρ- 29
τανόντων περὶ τὸ ἴδιον γένος ἤτοι γυναῖκα. ~ ΓVφΩ

ἐγὼ* κτλ.] τὸ φορτικὸν τοῦτο τῶν νέων ῥητόρων, οἳ ἐπὶ 31
τῆς ἀπαγγελίας κομμωτικῶς διεξέρχονται, λέγει. διὸ καὶ ταῖς θριξὶν αὐτὸ ἀπεικάζει καὶ τῷ τούτων εὐθετισμῷ διὰ τὸ τοῖς παρίσοις αὐτοὺς χαίρειν τῶν κώλων καὶ ταῖς παρη-

---

5 ἔφυγεν V ‖ 9 cf. sch. Dial. mort. XII 3. De hist. consc. 39 | δ pro ὡς δὲ V | ὅτι τὸ om. V ‖ 10 ἀρκαδίκην C; ἀκκαδίκ φ (ὡς — ἀρκ. om. Ω) ‖ 14 ἄνετον Luc. vulg. ‖ 17 χειροτονούντων VφΩ; cr. Bast ‖ 26 fort. οἳ

χήσεσι καὶ οἵστισι τοιούτοις ἄλλοις. τοὺς δὲ μεθύοντας καὶ κωμάζοντας εἰς τοὺς χρωμένους τοῖς λόγοις εἰς ἐπιθαλαμίους καὶ γαμηλίους μεταλαμβάνει· οὐδὲ γὰρ τούτων χάριν ῥητορική, ἀλλὰ τοῦ ἐπανορθωτικοῦ τοῦ βίου, τὸ δέ ἐστιν ἐν συμβουλαῖς τε καὶ δίκαις καὶ εἴπερ ἄρα ἐν ἐγκωμίοις καὶ ἐπαίνοις τῶν ἀρετὴν κατορθούντων, οὐ τῶν ἐν τοῖς πότοις ἀσελγαινόντων καὶ κώμους λαμπροὺς ἐκτελούντων καὶ γάμους περιφανεῖς ἐνισταμένων. ~ VΦΩ

32 τυράννων* κατηγορίας] διὰ τοὺς τὰς λεγομένας μελέτας ἐπιτηδεύοντας, ἐν αἷς τυραννοκτόνοι τινὲς μελετῶνται καί τινα ἄλλ' ἄττα τοιαῦτα. ~ VΦΩ

33 καὶ* τὸ μὲν τραγικὸν ἐκεῖνο καὶ σωφρονικὸν προσωπεῖον ἀφεῖλέ μου κτλ.] ἐν οἷς τὰ Πλάτωνος τοιαῦτα σοφοὺς ἄνδρας καὶ μεγαλόφρονας καὶ γενναίους τοῖς διαλόγοις ὑποβαλλόμενα, εἰκότως καὶ τραγικὴν μίμησιν ταῦτα καλεῖ, ὥσπερ ἀμέλει κωμικὰ πάλιν καὶ σατυρικὰ τὰ τοῦ Σύρου καλεῖ, κωμικὰ μὲν διὰ τὸ γελοῖον, σατυρικὰ δὲ διὰ τὸ πολλάκις καὶ αἰσχρότατα προσενείρειν τοῖς διαλόγοις· οἵ τε γὰρ Σάτυροι καταγέλαστοι τοῦ ὁρᾶσθαι αἵ τε κωμῳδίαι γελοῖοι καὶ πλήρεις σκωμμάτων· οἱ Σάτυροι δὲ μεθύοντες ἀεὶ καὶ παρασφαλλόμενοι εἰσάγονται καὶ πρὸς τῷ ἀλλοκότῳ τοῦ σώματος τῆς μορφῆς ἔτι καὶ ὁρμητικοὶ πρὸς συνουσίας αἰσχράς. ἐπεὶ τοίνυν κέχρηται καὶ τοιούτοις Λουκιανὸς διαλόγοις, ὡς ἐπὶ τοῦ Συμποσίου [c. 12] αὐτοῦ τὸν Ἀλκιδάμαντα εἰσάγει καί τινας ἄλλους τῶν φιλοσόφων, εἶπε νῦν τοῦτο, ὡς πρὸς τοῖς κωμικοῖς προσωπείοις καὶ σατυρικοῖς διεσκεύασται τὰ αὐτοῦ. καὶ τὸν ἴαμβον δὲ καὶ τὸν κυνισμὸν ἔφη παραλαμβάνειν, τὸν μὲν ἴαμβον ὡς χλευαστικόν, τὸν κυνισμὸν δὲ ὡς πᾶσι διαλοιδορούμενον· τῷ τε γὰρ ἰάμβῳ Ἀρχίλοχος, ὃν καὶ πρῶτόν φασι

---

8 fort. ἐστιωμένων ‖ 13 ἐν οἷς aut τοιαῦτα corruptum videtur ‖ 16 καὶ post ἀμέλει add. Ω ‖ 19 τοῦ VΩ; τε Φ; del. Solanus ‖ 20 γέλοιαι Ω ‖ 21 τῇ μέθῃ post παρασφαλλόμενοι add. ΦΩ ‖ 26 πρὸς suspectum

τῷ μέτρῳ χρήσασθαι, πρὸς ὕβριν τῶν Λυκαμβίδων διεγχειρίσατο, οἵ τε Κυνικοὶ λεγόμενοι φιλόσοφοι ἅπασι διελοιδοροῦντο, τοῦτο διὰ βίου ἐπιτήδευμα ἔχοντες, ὧν καὶ Μένιππος εἷς ἦν. ~ VφΩ

οὔτε πεζός εἰμι οὔτ' ἐπὶ τῶν μέτρων βέβηκα] καταγινώσκει τοῦ ῥήτορος ὁ Διάλογος, ὅτι γράφει διὰ λόγου ἀνθηροτέρου καὶ κροτουμένου· τοῦτο γὰρ τῶν φιλοσόφων διαλόγων ἀλλότριον. ~ ΓVφΩ

κεχαρισμένον*] ὅπερ ἀνωτέρω [c. 33] ὑπέθετο τὸν Διά- 34
λογον λέγοντα "ἔνθα ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων", διασυρμοῦ τέθεικεν ἕνεκα· τὸ γὰρ νῦν λέγειν ὅτι "χαμαὶ βαίνειν εἴθισα καὶ ἐς τὸν ἀνθρώπινον τρόπον" οὐκ ἄλλο οὐδὲν ἢ διαγελῶντος τὸ δῆθεν ὑψηλὸν ἐκεῖνο τῆς μεγαληγορίας. ~ VφΩ

τὰ πρὸ τοῖν ποδοῖν] τὸ τῆς Θράττης τοῦτο ἐκεῖνο, ὃ εὐφυῶς ἐκείνη ἀπέσκωψεν εἰς Θάλητα τὸν φυσικόν. ~ VφΩ

ὡς* θοἰμάτιον τοῦτο τὸ Ἑλληνικόν] τὸν ἀττικισμόν φησι καὶ τὸ τῆς λέξεως ἀνθηρὸν καὶ διεσμιλευμένον· οὐ γάρ φησιν 'ὡς Σύρος καὶ ἐκ βαρβάρων τὴν λέξιν ἐκιβδήλευσα τοῦ λόγου, βαρβαρισμοῖς αὐτὸν διαλαβὼν καὶ σολοικισμοῖς', ἀλλὰ 'τὸ πρέπον αὐτῷ διετήρησα τῇ λέξει εἰς τὸν Πλατωνικὸν τρόπον'. ~ VφΩ

τετρυπημένην*] ἐπὶ τῶν δικαζομένων δύο ψῆφοι ἐτί- 35
θεντο, ἡ μὲν πλήρης, ἡ δὲ τετρυπημένη. ἐδίδοτο δὲ τοῖς μὲν νικῶσιν ἡ πλήρης, τοῖς ἡττωμένοις δὲ ἡ τετρυπημένη, καὶ μάρτυς τούτων Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου [79]· τὴν γὰρ τετρυπημένην ἀξιοῖ Τιμάρχῳ δοθῆναι· εἰ γὰρ καὶ

---

1. 2 διεγχειρίσατο sic V; om. φ; διεχρήσατο Lehmann; nescio, quid lateat ‖ 5 ad c. 33 init. (ὁ* Διάλογος ἐπὶ τῶν αὐτῶν λέγε) relat. V ‖ 8 διάλογ$^{o}_{ῃ}$ Γ ‖ 11 τῷ γὰρ Vφ ‖ 12 ἐπὶ γῆς βαίνειν Luc. | καὶ om. Luc. ‖ 13 τοῦτον τρόπον Luc. vulg. ‖ 21 αὐτὴν φ ‖ 22 τὴν λέξιν Ω ‖ 24 cf. sch. Pisc. 21

πρὸς ῥᾳδιουργίαν ὁ λόγος αὐτῷ ἀπονεύει, ἀλλ' οὖν πάντως καὶ ὡς ἠττημένῳ Τιμάρχῳ ταύτην δοθῆναι ἀξιοῖ. ~ VΦΩ

30. *Περὶ θυσιῶν.*

1 *Θυσίαις**] ὁ σκοπὸς ἐνταῦθα τῷ Λουκιανῷ καταδραμεῖν τῶν Ἑλλήνων θυσίας ποιούντων· τὸ γὰρ θεῖον οὐ δέεται θυσιῶν. οὐκ ἔστι δὲ διάλογος· ὅλον γὰρ τὸν λόγον ὡς ἐξ ἰδίου προφέρει προσώπου, ὁ δὲ διάλογος πρόσωπα ἔχει διάφορα διαλεγόμενα πρὸς ἄλληλα. ~ ΓVMΩ

*Αἰτωλικά**] Αἰτωλίας ἐβασίλευεν Οἰνεύς. οὗτος θύσας τοῖς θεοῖς τὴν Ἄρτεμιν ἐπελάθετο, ἡ δὲ ὀργισθεῖσα ἀπέλυσε κατὰ τῆς Καλυδῶνος κάπρον, ὅστις πολλοὺς ἀνεῖλεν, ὕστερον δὲ κατ' αὐτοῦ συναχθέντων πολλῶν ἀνῃρέθη. ~ ΓVMΩΔ

*Καλυδωνίων**] Καλυδὼν πόλις ἐστὶν Αἰτωλίας. ~ ΓVMΩ

*Μελεάγρου**] Ἀλθαία Μελεάγρου μήτηρ ἐγέννησε σὺν τῷ Μελεάγρῳ λάμπον πῦρ καὶ ἔμαθεν, ὡς τοσοῦτον ζήσει χρόνον Μελέαγρος, ὅσον ἡ λαμπὰς ἅπτεται. ὅτε οὖν ἐφονεύθη ὁ κάπρος, ὁ Μελέαγρος τῆς Ἀταλάντης ἐρῶν αὐτῇ τὰ νικητήρια δέδωκεν. ὠργίσθησαν ἐπὶ τούτῳ οἱ θεῖοι [καὶ] οἱ ἀδελφοὶ τῆς Ἀλθαίας — σὺν αὐτῷ γὰρ τὸν κάπρον ἐφόνευσαν —, ὅτι γυνὴ προετιμήθη αὐτῶν, καὶ ἔσχον πόλεμον πρὸς Μελέαγρον. ἀνεῖλεν οὖν αὐτοὺς ὁ Μελέαγρος καὶ ὀργισθεῖσα ἡ Ἀλθαία διὰ τοὺς ἀδελφοὺς ἔσβεσε τὴν λαμπάδα καὶ ἀπέθανεν ὁ Μελέαγρος. ~ ΓVMΩ

2 *Ὁμήρου**] ὁ γὰρ Ὅμηρός φησιν [*A* 423], ὅτι οὐκ ἔστι

---

1 εἰς V ‖ 2 ὡς om. V ‖ 9 ἐβασίλευσεν VΔ | cf. sch. Conv. 30 ‖ 10 τῆς ἀρτέμιδος Δ ‖ sch. 12 et 14 coni. V (καλ. δὲ) ‖ 12 δὲ πολλῶν ὑπ' αὐτοῦ συναχθέντων ὑπὸ μελεάγρου ἀναιρεῖται Δ ‖ 16. 17 χρόνον ζήσει V ‖ 18 ἀτλάντης ΓV ‖ 19 τοῦτο Γ | θεῖοι cod. Paris. suppl. 70, cf. sch. Conv. 30 annot.: θεοὶ cet. ‖ 20 καὶ del. Graeven | γὰρ om. V ‖ 21 αὐτῷ V

νῦν ἐν τῷ οὐρανῷ ὁ Ζεύς, ἀλλ' ἀπεδήμησεν εἰς Αἰθιοπίαν κἀκεῖ εἱστιάθη ἡμέρας δώδεκα. ~ ΓVΩ

*ταύρων**] *ὁ γὰρ Νέστωρ ἀπὸ τῆς Ἰλίου ἐπανελθὼν εἰς Πύλον ἐννέα βοῶν θυσίαν τῷ Ποσειδῶνι ἔθυσεν, ὡς λέγει* 5 *οὗτος· ὁ γὰρ Ὅμηρος* [cf. *γ* 179. 8] *εἶπεν ἐννάκις ἐννέα.* ~ ΓVΩ

*ὥνια**] *πράσιμα.* ~ Γ

*Περσῶν**] *ἐκ τοῦ Ἡροδότου* [3, 31]· *Καμβύσης ὁ Κύρου* 5 *τοῦ Περσέων ἐρασθεὶς τῆς ἀδελφεῆς Ἀτόσσης ἤρετο τοὺς* 10 *βασιληίους δικαστάς, εἴ τις ἔστι νόμος κελεύων τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. οἱ δὲ ἀπεκρίναντο νόμον μὲν μηδένα εἶναι, ὃς κελεύει ἀδελφεὸν ἀδελφεῇ ξυνοικέειν, ἄλλον μέντοι νόμον ἐξευρηκέναι, ὃς θεσπίζει τῷ βασιλεύοντι Περσῶν ἐξεῖναι ποιέειν, ὅ ἐὰν βούληται. καὶ τότε* 15 *Καμβύσης ἔγημε τὴν ἀδελφήν.* ~ ΓCVΩΔ

κεφαλῆς κτλ.] *σημείωσαι.* ~ Γ

χαλκοῦς — Ὁμήρου λέγοντος]·"*Διὸς ποτὶ χαλκοβατὲς* 8 *δῶ*" [*A* 426]. ~ B

χρυσοῦν τὸ δάπεδον] "*χρυσέῳ ἐν δαπέδῳ*" [*Δ* 2]. ~ B

20 *Ἀφροδίτην κτλ.*] *ὡραῖον.* ~ Γ 10

νεών] *εἰς ὃν κεῖται τὸ τοῦ Διὸς ἄγαλμα.* ~ ΓVMΩ 11

*Πισαίων**] *ἐν Πίσῃ γὰρ τῆς Ἠλείας γῆς τὸ τοῦ Ὀλυμπίου Διὸς ἄγαλμα ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκεύασε Φειδίας, ὅπου καὶ ὁ ἀγὼν τὰ Ὀλύμπια ἐτελεῖτο.* ~

25 VBNΩΔ

—] *διὰ τὸ κατὰ πενταετίαν μόνον ἐπιδημεῖν τοὺς ἀνθρώπους χάριν τῶν Ὀλυμπίων εἰς Ὀλυμπίαν ἕνεκεν τοῦ ἀγῶ-*

---

8 *ἐκ τοῦ Ἡρ.* om. C | *κῦρος* C ‖ 9 *περσέως* CΔ; *περσῶν* VΩ | *ἰδίας* post *τῆς* C | *ἀδελφῆς* Δ ‖ 11 *ξυνοικέειν* V | *ἀνεκρίναντο* Δ | *μὲν* om. Δ ‖ 12 *συνοικέειν* VCΔ ‖ 14 *ποιεῖν* C ‖ 15 *ἔλαβε* Δ ‖ 21 ad *ἐλέφαντα* relat. ΓV ‖ 22 *ἡλιακῆς* V; *ἡλίας* cet., cf. sch. Iov. trag. 25 *τῆς Ἡλιακῆς μοίρας Πελοποννήσου*; sch. Icarom. 24. Rhet. praec. 9 ‖ 26 *διὰ δὲ* B, sed gravis interpunctio ad scholii finem indicandum post 24 *ἐτελεῖτο*, illud *δὲ* autem quamquam m 1 tamen postea insertum; *ἄλλως· διὰ* (om. *δὲ*) Δ

νος, ἄλλοτε δὲ μηδέποτε, διὰ τοῦτο εἶπε τὴν Πισαίων ἐρημίαν. ~ BVNΩΔ

περιρραντήρια*] τὰ ὕδατα, δι' ὧν προκαθήροντο οἱ θύειν μέλλοντες. ~ ΓVΔ

φονεύουσιν — θεοῦ] βαρύτητος ταῦτα. ~ B

οὐκ εὐσεβὲς κτλ.] εἰρωνεία. ~ B

κυνοπρόσωπον*] ἐμοῦ γε ἕνεκα εἴθε καὶ ὀνοπρόσωπον, ὡς ἂν ἐνθεέστερον αὐτοῖς, μᾶλλον δὲ ὀνωδέστερον εἴη τὰ τῆς Θεοποιίας. ~ ΔB

Πᾶνα ὅλον τράγον] καλῶς, ἐπεὶ καὶ τράγους τὰς ἀφροδισίους ὁρμάς. ~ B

θύρας* κτλ.] παροιμία. ~ ΓΔ

ὁ Ἆπις ἐν ταῖς ἀγέλαις τῶν Αἰγυπτίων εὑρίσκεται βοῦς ὢν καὶ ἔχων τινὰ ἴδια σημεῖα. τοῦτο κοινὸν εὐετηρίας ἐνομίζετο σύμβολον. ~ ΓCVΩΔ

Νίσου*] ὁ Νῖσος βασιλεὺς ὢν εἶχεν ἐπὶ τῆς κεφαλῆς μίαν τρίχα πορφυρᾶν, ἧς ἀποτμηθείσης ἀνάγκη ἦν ἀπολέσθαι τὴν πόλιν, ἧς ἐβασίλευεν. ~ ΓCVMΩ

—] ὁ Νῖσος οὗτος βασιλεὺς ἦν Μεγάρων, ἀφ' οὗ καὶ τὸ Μεγαροῖ πεδίον Νῖσα ὠνόμασται. εἶχε δὲ πορφυροῦν πλόκαμον ἐπὶ τῆς κεφαλῆς, οὗ μάλα πολλὴν εἶχε πολυωρίαν, καθότι καὶ τῆς βασιλείας αὐτῷ σῳζόμενος περιεποιεῖτο τὸ κράτος. ~ BNΔ. Addit Δ: τοιοῦτόν τι καὶ περὶ τοῦ Σαμψὼν λέγεται ἔχειν τρίχα χρυσίζουσαν καὶ ταύτην ἐνέχυρον εἶναί οἱ τῆς ἀνδρείας τῆς προσούσης αὐτῷ. ~

Δημοκρίτου*] ὁ Δημόκριτος οὗτος Ἀβδηρίτης ὢν διόλου ἐγέλα πάντων ὑπερφρονῶν, ὁ δὲ Ἡράκλειτος κλαίων ἦν ἐς ἀεὶ ἐπὶ παντὶ πρακτέῳ μηδέποτε γελῶν. ~ Δ

---

8 ἐνθεέστερος — ὀνωδέστερον Δ | εἴη om. B ‖ 14 τοῦτο κτλ. nescio quo spectent ‖ 16 νῖνος C | εἶχεν CM; ἔχων ΓVΩ

18 ἐβασίλευσεν C ‖ 22 σωζομ̊ B; σωζομένης NΔ (Vat. 942: καθότι καὶ τῆς βασιλείας αὐτῷ τὸ κράτος τούτου σωζομένου περιεποιεῖτο) ‖ 24 vix scrib. ἔχοντος

31. *Πρὸς τὸν ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον.*

Ὡς οὕτωσὶ εἰκάσαι βιβλίον αἰτήσας τινά, Λουκιανέ, καὶ μὴ λαβὼν καλῷ τούτῳ δεξιώματι δι' αἰῶνος ἡμείψω αὐτόν. ~ VφOΩ

σέας*] ἀπὸ εὐθείας τῆς σεύς. σημαίνει δὲ τοὺς σῆτας. ~ 1 VF2CφOΩ

Καλλῖνος* κτλ.] καλλιγράφοι οὗτοι γεγόνασιν ἄριστοι. ~ 2 ΓVφOΩ

φθάνοντος*] προλαμβάνοντος. ~ ΓVOΩ

Ἑλικῶνα*] ὄρος, ὅπου αἱ Μοῦσαι διατρίβειν λέγονται. ~ 3 ΓVOΩ

πρὸς τῆς Λιβανίτιδος] ἔοικε Σύρος εἶναι ὁ βιβλιοκάπηλος οὗτος καὶ Δαμασκηνός, ὅσον ἀπὸ τῆς Λιβανίτιδος εἰκάσαι. ~ F2VφΩ

—] ὅτι Λιβανῖτις ἡ Ἀφροδίτη λέγεται· Λίβανος γὰρ τὸ ὄρος, ἐν ᾧ τὸ Ἀσσύριον μειράκιον ἐθήρα καὶ σὺν αὐτῷ ἡ Ἀφροδίτη διέτριβεν. ~ Vat. 942

Ὀλμιόν*] ποταμός ἐστιν οὗτος. ~ Γ

—] ποταμοί εἰσιν οὗτοι πρὸς αὐτῇ τῇ κορυφῇ τοῦ Ἑλικῶνος. ὁ δὲ Ἑλικὼν ὄρος ἐστὶ Βοιώτιον, οὗ πρὸς τοὺς πρόποδας Θεσπιαὶ πόλις κατῴκηται, ἐν ᾗ ὁ Ἔρως, ὃν Ἀλκαμένης ἐξείργασται, θαυμάσιόν τι ἔργον ἰδεῖν. περὶ τὸν Ἑλικῶνα δὲ καὶ Ἡσίοδός [Theog. 22] φησι νέμων τὰς Μούσας ἰδεῖν καὶ τὴν ποιητικὴν σοφίαν λαβεῖν. ~ VφΩ, cf. F2

Δημοσθένους ὅσα τῇ κτλ.] ὡραῖον. ~ ΓV 4

ὑποβαλλόμενος* αὐτά] οὕτω γάρ φασι τὸν Μακεδόνα Ἀλέξανδρον ἐπικοιμᾶσθαι τοῖς Ὁμήρου ποιήμασιν. ~ VφΩ

ὄνος λύρας κτλ.] ὡραῖον πάνυ. ~ ΓV

---

11 *Βοιωτίας ὄρος* sch. Iov. trag. 26 ‖ 20 schol. F2: ⌊cr. IX litt. decis.⌋ *προσ αυτη — ελικωνος πηγαι ανται ο δε ελικων ὄρος κτλ.* ‖ 24 *δέ φησι καὶ ἡσίοδος* V

5 *τίνος οὖν ἀγαθοῦ* ὠνῇ ταῦτα*] προσυπακουστέον τὸ *χάριν ἢ ἕνεκεν, ἵν' ἧ 'τίνος οὖν ἀγαθοῦ χάριν ἢ ἕνεκεν'.* ~ VEOΩ

Ἰσμηνίας οὕτω καλούμενος καὶ αὐτὸς Κορίνθιος· καὶ αὐτὸς ἐλπίσας ἐκ τῆς ὁμωνυμίας, εἰ καὶ τοὺς αὐλοὺς κτήσαιτο Ἰσμηνίου, εὐθὺς αὐτοπρόσωπος ἔσεσθαι Ἰσμηνίας, ἐώνηται μέν, οὐ μέντοι καὶ πλέον τοῦ ἐπελπίσαι τετύχηκεν. ~ EVφOΩ

ἵππον — Μῆδον] *Μῆδος ἵππος ὁ Νησαῖος· ἡ Νῆσα δὲ πεδίον Μηδίας, οὗ αἱ βασιλικαὶ ἱπποφορβάδες νεμόμεναι τοῖς Μήδων βασιλεῦσιν ἵππους ἔτρεφον γενναίους. κενταυρίδαι δὲ ἵπποι οἱ ἐκ Λαρίσσης τῆς Θετταλῆς, τάχα ἀπὸ τῶν ἱπποκενταύρων ὀνομαστοί.* ~ EVCφOΩ

κοππαφόρον] *ἐπίσημον τοῦτο τῶν ἵππων ἐπὶ τοῦ μηροῦ ἐγκαιόμενον παρὰ τῶν παλαιῶν, καὶ ἦσαν οὗτοι οἱ ἵπποι τῶν εὐγενῶν, οἷς ἐπὶ τοῦ μηροῦ παράσημον κ τὸ στοιχεῖον ἢ σ· ἀφ' ὧν καὶ παρωνομάζοντο ἀπὸ μὲν τοῦ κ κοππατίαι, ἀπὸ δὲ τοῦ σ σαμφόραι.* ~ EVCφOΩ. Addit C: *ἐξ οὗ καὶ ὁ Βουκεφάλας ἵππος ὁ τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος βούκρανον ἔχων ἐντετυπωμένον οὕτως ἐκαλεῖτο.* ~

7 *ὑπερπηδήσεται μὲν τὸν ποταμόν*] *ταῦτα πάντα λέγει Ὅμηρος τὸν Ἀχιλλέα ποιῆσαι.* ~ ΓVOΩ

ἐπιθολώσει κτλ.] *ὡραῖον.* ~ ΓV

10 *κόλλοπας**] *κόλλοπες οἱ πασσαλίσκοι τῆς κιθάρας, ὧν ἐκδέδενται αἱ νευραί.* ~ VECφOΩ

περὶ πόδα: *ἀντὶ τοῦ κατὰ πόδα, πλησίον, ἐγγύς. ἢ ἀλη-*

---

9 *νισαῖος* et *νίσα* Vat. 942 | *Νῆσα χωρίον Μηδίας καλλίστους ἵππους φέρον* Arethas in Dion. Chr. III 130 (p. 100 Sonny) || 11. 12 *καὶ κενταυρίδαι* C ‖ 13 *κενταύρων* V ‖ 14 *κοττοφόρον* Γ text.; *κοπτοφόρος* C ‖ 15 *ἐγκαιομένου* CV ‖ 16 *τὸ παράσημον* CV ‖ 17 *μὲν* om. CV ‖ 17. 18 *καππατίαι* C ‖ 18 *δὲ* om. C | *σαμφόραι* C Vat. 942 ‖ sch. 14 et 9 coni. (*δὲ* post *Μῆδος* add.) VΦOΩ et (interpositis 19 *ἐξ οὗ* — 20 *ἐκαλεῖτο*) C ‖ 25 cf. sch. Iov. trag. 10

Θέστερον ἐρεῖν περὶ πόδα ἀντὶ τοῦ καταπεφρονημένος· ἐπεὶ καὶ τὰ παρ' ἡμῶν εὐκαταφρόνητα περὶ τοὺς πόδας ῥιπτεῖται. ~ VE²CφOΩ

ἵναπερ] ἀντὶ τοῦ ὅπου.* ~ Γ 11

κληρονομήσας τῆς Ὀρφέως μουσικῆς] κληρονομῶ* 12
σου, καὶ τοῦτο Ἀττικόν. ~ VE²CφOΩ

διασπάσασθαι — ὅμοιον τῷ Ὀρφεῖ] ἐπεὶ κἀκεῖνος ὑπὸ τῶν Θρᾳττῶν διεσπάσθη.* ~ VOΩ

—] σημείωσαι. ~ Γ

Ὀρφεῖ παρὰ τῆς μητρός] Καλλιόπης γὰρ τῆς Μούσης μυθεύουσι γενέσθαι τοῦτον.* ~ VΓφOΩ

χθὲς δὲ καὶ πρῴην] λέγεται καὶ 'ἄρτι πρῴην', ὡς ἐχρήσατο* 14
καὶ Πλούταρχος ἐν Παραλλήλοις [Brut. 1]. ~ E²CVφOΩ

Πρωτέως] περὶ τοῦ Περεγρίνου λέγει τοῦ ἑαυτὸν καύσαν-
τος. ~ E²VφOΩ

ὡς Τεγεᾶται κτλ.] σημείωσαι. ~ Γ

ὡς οὐδ' εἰπεῖν καλόν] καινοπρεπὲς καὶ τοῦτο 'ὡς οὐδ' εἰπεῖν καλόν'· τὸ γὰρ κοινὸν 'ὡς οὐδὲ καλὸν εἰπεῖν'.* ~ 16
VE²COΩ

φευκτέον ἂν ἦν κτλ.] σημείωσαι. ~ Γ

τίλφαις] τίλφη ζωύφιόν τι τοῖς βιβλίοις ὡς ἐπίπαν ἐντί-* 17
κτεσθαι πεφυκὸς ἐπίμηκες, κέρατα ἔχον, ὡς ἐν μικρῷ κατιδεῖν, λευκὸν ἢ πελιόν, εἴ τις τούτῳ ἐγχρίμψαιτο, κονιορτὸν ἀποβάλλον. ~ VE²CφΩ

σὺ δὲ ἀπορεῖς κτλ.] ὡραῖον. ~ ΓV 18

Δημήτριος κτλ.] ὡραῖον. ~ ΓVO 19

τὸ οὐδέτερος ἐπὶ δύο λαμβάνεται. πῶς οὖν τοῦτο; εἰ μή 20
που ἔσφαλται τὰ τῆς γραφῆς καὶ ἀντὶ τοῦ οὐχ ἕτερος γέγραπται οὐδέτερος ἢ ἐκτέθλιπται τὸ ε̄ τοῦ συνδέσμου. ~
E²VφΩ

1 καταπεφρονημένος VφOΩ; καταπεφρονημένως E²C ‖ 6 καὶ τοῦτο om. CV ‖ 13 ἐν Παρ. om. Vφ ‖ 14 τοῦ ἑαυτ. καύσ. om. V ‖ 21 cf. sch. Gall. 31 ‖ 22 κέρα C | σμικρῷ VΩ ‖ 23 τούτου C; τοῦτο cet. | ἐγχρίμψαιτο Vat. 942; ἐγχρίψαιτο cet. ‖ 28 τοῦ οὐδεὶς ἕτερος φ

τοὺς ἐπαίνους κτλ.] ὡραῖον. ~ Γ

21 τὸ* τῶν Μυσῶν] ἀντὶ τοῦ ὅμοιον τῇ παροιμίᾳ τῇ διαγορευούσῃ "χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα" [fr. adesp. 560. F. T. G.^{2} p. 950 N.]. ~ VΓCφΩ

22 βασιλεύς] κατὰ Μᾶρκον γὰρ οὗτος ὁ Λουκιανὸς ἦν. ~ 5 ⟦2⟧VφΩ

23 χύτραις λημῶντες: ἀντὶ τοῦ χύτραις ἴσας περιφέροντες λήμας. ~ ⟦2⟧CVφOΩ

25 ταὐργύριον καὶ φύλαττε κτλ.] ὡραῖον. ~ ΓVO

30 καὶ σὺ* τοίνυν κτλ.] καλῶς ἂν εἶχε τῷ δυστυχεστάτῳ 10 τούτῳ μειρακίῳ μὴ καθ' ἓν τῶν βιβλίων ἀλλὰ πᾶσαν τὴν βιβλιοθήκην προῖκα Λουκιανῷ τῷ παρόντι ἐπιδοῦναι, ἢ τοιαύτην σφηκιὰν καθ' ἑαυτοῦ κινῆσαι ἑνὸς ἐγκρατείᾳ βιβλίου. ~ VOΩ

subscript.: Διώρθωσα ἐγὼ Ἀλέξανδρος ἐπίσκοπος Νικαίας 15 τῆς ἐν Βιθυνίᾳ μετὰ Ἰακώβου τοῦ ὁμοψύχου ἀδελφοῦ ⌊...⌋σ Λαρίσσης τοῦ πρῶτον μετὰ τὴν καταδρομὴν τῶν Βουλγαρῶν ἰδίοις αὐτ⌊ὴν⌋ ἀναλώμασιν ἀναστήσαντος καὶ κόσμον αὐτῇ τε καὶ τοῖς κτήμασι δόντος πλείονα. ~ ⌊⟦2⟧⌋

32. *Περὶ τοῦ ἐνυπνίου ἤτοι Βίος τοῦ Λουκιανοῦ.* 20

8 οὐκέτι μέμνημαι*] ὁ τὰ σχήματα τῶν φανέντων τοῖς ὀφθαλμοῖς ἐντετυπωμένα φέρων καὶ τὴν φωνὴν ἕναυλον ἆρα τὴν ἔννοιαν τῶν εἰρημένων οὕτω ταχέως ἐξήμβλωκας; καινὸν τοῦτο. ~ ΔVUΩ

9 ἕρμαιον*] τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς 25 τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. ~ Δ

τὴν μὲν τέχνην κτλ.] ὡραῖον. ~ ΓV

10 τὴν ψυχὴν — κατακοσμήσω κτλ.] ⌊ἀλλὰ μὴν ψευδεῖς αἱ τῆς διδασκαλίας ὑποσχέσεις ἀπεφάνησαν· οὐ γὰρ τοιαύ-

2 Μυσῶν etiam Γ text. ‖ 5 μικρὸν V ‖ 17 num ἐπιδ̃ scriptum fuerit, dubito ‖ 23 ἐξήμβλυνας U ‖ 26 τεθειμένων Phot. ‖ 29 τοιαύτην U

ταις σου τὴν ψυχὴν ἀρεταῖς κατεκόσμησεν ἀλλὰ ταῖς ἐναντίαις, ὡς αὐτὸς σὺ ταῦτα ἐξ ὧν γράφεις ἀποδεικνύεις. ~ ⌞U⌟

εὐπάρυφος*] εὐκατέργαστα καλῶς ὑφασμένα φορῶν ἱμάτια. ~ Δ 16

subscript.: *Διώρθωσα ἐγὼ Ἀλέξανδρος ἐπίσκοπος Νικαίας* 18
τῆς πρὸς τῇ Ἀσκανίᾳ μετὰ Ἰωάννου τοῦ ἐπὶ τῇ ἀδελφῇ κηδεστοῦ. ~ ⌈2

33. *Περὶ παρασίτου, ὅτι τέχνη ἡ παρασιτική.*

Τῶν πάνυ σπουδαιοτάτων ὁ λόγος καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ γελοιότατος εἶναι ὑποδύεται. ~ φUΩ

μὰ *Δία**] τὰ ⌈ἀπωμοτικὰ⌉ συν⌈ακουομένην⌉ ἔχουσι τὴν ἄρ- 1
⌈νησιν, διὸ⌉ οὐδὲ πρ⌈όσκειται⌉. ~ ⌈V⌉⌈2φUΩ

φιλοσοφίας] δηλονότι τῆς σοφίας. ~ ⌈2

ἐγὼ* μὲν κτλ.] σημείωσαι. τὸ ἑξῆς ο⌈ὕτως· ἐγὼ μέν⌉, εἰ δυνατὸν κα⌈κόν με εἶναι⌉, καὶ πλεῖον, οὗ σὺ ⌈φῄς, βού⌉λομαι κακὸς εἶ⌈ναι· φημὶ γὰρ κακὸν ἐ⌈μαυτὸν⌉ καὶ χείρω, οὗ σὺ ⌈δοκεῖς⌉· ὥστε μὴ ἀγ⌈νοοῦν⌉τί μοι τοῦτο δό⌈κει ὀ⌉νειδίσαι, ἀλλ' ὡς ⌈εἰδότι⌉ καὶ σεμνυνομένῳ ⌈ἐπὶ τῷ⌉ κακὸς εἶναι. ἢ οὕτως ἁπλούστερον· ἐγ⌈ὼ μέν⌉, εἰ οἷόν τε εἶναι, ⌈ὃ βούλο⌉μαι, καὶ πλεῖον ἀ⌈πέχειν⌉ βούλομαι, ὡ⌈ς μηδὲ⌉ δόκησιν παρέχει⌈ν ἀ⌉γνοίας, ὁπηνίκα ⌈τοῦτό⌉ μέ τις ὀνειδίζει, ἀλλὰ πράγματος ἀληθειαν καὶ καθ' ἑκούσιον γνώμην τὸ τοιοῦτο ὑποδυόμενος ἐπιτή⌈δευμα⌉ καὶ πλεῖον τῆς παρὰ σοὶ δοκήσεως. ~ ⌈V⌉ΓφUΩ

παραιτεῖσθαι: ἀπολύειν. ~ Vφ 2

πάνυ ὠνείδισας] εἰρωνεία. ~ VU

ἀλλὰ μὴ καθάπερ καί: πλεονάζει Ἀττικῶς ἡ ἀπαγόρευσις 4

---

2 ἑξ scripsi; καὶ U ‖ 3 cf. sch. Dial. mer. I 1 ‖ 11 *συνυπακουομένην* φΩ | ἔχει VU ‖ 14 *σημείωσαι* om. VU ‖ 22 *πράγμᾰ* Γ; *πραγμάτων* V ‖ 23 *ὑποδυόμενους* Γ; *ὑποδύμενον* V; *ὑποδύομαι* Ω ‖ 27 *καθάπερ αἱ* Luc.

'μὴ καθάπερ μὴ σαπρόν'· ἤρκει γὰρ κατὰ τὴν κοινὴν χρῆσιν ἡ μία ἀπαγόρευσις, ἤτοι ἡ πρώτη ἢ ἡ δευτέρα. ~ CφUΩ

6 αὐτὸν* τὸν τεχνίτην] καὶ μήν, μάταιε, διὰ τοῦτο οὐ τέχνη, τῆς τέχνης πεφυκυίας καὶ ἕξιν αὐτῆς ἐμποιεῖν τῷ τεχνίτῃ καὶ τέλος τι ἕτερον παρὰ τὴν ἐνέργειαν κεκτῆσθαι, ὥσπερ οἰκοδομικὴ οἰκίαν. εἰ δὲ τὴν κιθαριστικὴν καὶ ὀρχηστικὴν ἀντιθῇς — οὐδὲν γὰρ αὗται παρὰ τὰς ἐνεργείας ἔχουσι τέλος —, πρῶτον μὲν οὐδεὶς φθόνος τῆς ὁμοιότητος· οὐδὲ γὰρ οὐδ' αὗται τῶν σπουδαίων τεχνῶν τοῦ κατὰ βίον εὐχρήστου σεσυλημέναι. εἶτα δ' ὅτι καὶ τούτων ἡ παρασιτικὴ τῷ μηδεμίαν ἕξιν ἐντιθέναι τῷ παρασίτῳ ἀπολειπομένη, καθὼς αὐτὸς σεμνύνων αὐτὴν ἀπεφήνω, πρὸς τὸ ἀνύπαρκτον συνωθεῖται τῆς τῶν τεχνῶν ὑποστάσεως ἐξοστρακιζομένη. ~ ΓφUΩ

8 τέχνη] οὐ τέχνη ἀλλὰ ψυχῆς πονηρᾶς ἐπιτήδευμα, ὡς ἰκτίνων καὶ κοράκων τὸ ἁρπακτικόν. ~ φUΩ

9 ἀλλ' ἐκεῖνο*] ἐλλειπτικῶς τοῦ σκόπει, οἷον 'ἀλλ' ἐκεῖνο σκόπει'· ἔστι δὲ Ἀττικόν. ~ ΓUΩ

φιλοσόφων*] εἰς τοὺς Ἐπικουρείους αἰνίττεται, οἳ τέλος τἀγαθοῦ τὴν ἡδονὴν ἀπεφαίνοντο. ~ ΓVUΩ

11 οὐδὲν Ἐπικούρῳ μέλει*] σημείωσαι διὰ τὴν σύνταξιν· ὅμοιον τῷ 'μελήσουσι δέ μοι ἵπποι'· εὐθεία γάρ, οὐ γενικῇ συνέταξε τοῦτο. ἢ ἀντὶ τοῦ πεφρόντισται, σπουδῆς ἠξίωται. ~ ΓφUΩ

14 τῶν* ἄλλων τεχνῶν] τὰς βαναύσους λέγει τέχνας· καὶ γὰρ αὗται πορισμοῦ χάριν βίου τοῖς κεκτημένοις μεταχειρίζονται. ~ ΓVφUΩ

16 ὀλιγοσιτίαις κτλ.] τοιαύτη γὰρ ἡ τῷ ὄντι κατὰ ἄνθρωπον ζωὴ ὡς μόνου τοῦ κατὰ τὸ δεῖ ζῆν αὐξητική τε καὶ συντηρητικὴ οὖσα, ὅπερ ἐστὶ τὸ κατὰ νοῦν καὶ λόγον.

---

8 παρὰ UΩ; περὶ φ; om. Γ ‖ 11 διότι UΩ ‖ 12 τὸ μηδ. Γ | 21 τἀγαθοῦ sic codd. ‖ 23 τὸ μελ. Γ ‖ 30 fort. δέον ‖ 31 λόγον scripsi; ὅλον Γ

ἡ μέντοι τοῦ παρασίτου μηδενὸς τούτων φροντίζουσα ἢ μόνου τῆς κατὰ σάρκα πλεονεξίας καὶ τῆς ἀνθρωπίνης ἐξέπεσε ζωῆς καὶ τοῖς ἀνοήτοις κτήνεσι παρεσυνεβλήθη. ~ ⌈2
σχολῇ* δηλονότι κτλ.] σημείωσαι διὰ τὴν σύνταξιν· ἀντὶ 26
γὰρ τοῦ περιττῶς ἢ διαφερόντως κεῖται. ~ ΓVφUΩ
ἀρχὴν* γάρ φημι μήτε εἶναι τέχνην, ἧς οὐκ ἔστιν 27
ὑπόστασις . . . ἀριθμητικὴ μὲν μία ἐστὶ καὶ αὐτὴ κτλ.] ⌊ ⌋ πάσαις τ⌊αῖς⌋ κατ' αὐτ⌊ὴν⌋ αἱρέσεσ⌊ιν⌋· πάσαις γὰρ δοκεῖ τὸ μέν τι θεωρητικ⌊όν⌋ αὐτ⌊ῆς⌋ εἶναι τὸ δὲ πρακτικ⌊όν⌋. εἰ δὲ ⌊ ⌋ οἱ μὲν ταῦτα οἱ δὲ ἐκεῖνα περὶ πλείστου ποιούμενοι, οὐδὲν πρὸς ἔπος. οὐδὲ γὰρ ἀριθμητικὴν διαστασιάσει καὶ τῷ μηδενὶ ἴσην ἀποφανεῖ, εἴ τις τὸ χύμα τ⌊ὰριθμητικὸν⌋ αὐτὸς μὲν τὸν καθ' ἑαυτὸν ἀποφανεῖ ἀριθμόν (τὸν ἀριθμοῦντά φημι), ἄλλος δὲ τὸν ἐν σχέσει καὶ ἀριθμούμενον· οὐδὲ εἰ τοῦ ἀριθμουμένου ὁ μὲν ἐπὶ χρυσίνων τοῦτο λογίζ⌊οιτο⌋, ὁ δὲ ἐπί τινος ἄλλης ὕλης, οὐδὲ εἰ ὁ μὲν τὸ ὑγρὸν καὶ συνεχὲς ὑποπίπτειν λέγοι τῷ ἀριθμῷ, τὸ ξηρὸν δὲ καὶ καθ' ἑαυτὸ διῃρημένον (καὶ ὁ σῖτος φέρε ὁ ἐν τῷ μεδίμνῳ) ἐκβάλλειν πειρῷτο τοῦ κατά τι κοινὸν μέτρον τῶν κόκκων συνεκτικὸν ἀριθμεῖσθαι. ὡς γὰρ ἐνταῦθα περὶ τὴν ὕλην τὸ διάφορον μιᾶς οὔσης τῆς ἐπιστήμης, οὕτω καὶ ἐπὶ φιλοσοφίας μία μὲν ἡ φιλοσοφία ἤτοι ἡ ἐπιστήμη, ἀφ' ἧς ἐνδίδοται δογματίζειν τὸ διάφορον περὶ τὴν ὕλην. οἱ μὲν γὰρ τήνδε τὴν ζωὴν ἐπέκρινάν τε καὶ ἠσπάσαντο, οἱ δὲ τήνδε, ἐπέκριναν δὲ φιλοσοφί⌊ᾳ⌋ καὶ τοῖς τῆς φιλοσοφίας ὀργάνοις μιᾶς καὶ τῆς αὐτῆς παρὰ πᾶσι τῆς μεθόδου οὔσης. ~ ⌊⌈2⌋
μία μὲν οὐκ ἔστι φιλοσοφία, ἐπειδὴ ὁρῶ καὶ ἄπει- 28

---

2 *μόνου* suspect. ‖ 8 margo superior decisus est; haec fere excidisse opinor ⌊*μίαν μὲν εἶναι τὴν φιλοσοφίαν, μέρη δὲ εἶναι διάφορα ὁμολογεῖται*⌋ *πάσαις* ‖ 10 XVI fere litt. abscissae; fort. *εἰ δὲ* ⌊*καὶ μὴ ταὐτὸ δοξάζουσιν*⌋ ‖ 13 *τἀριθμητικὸν* Brinkmann ‖ 17 vix *εἰ τὸ μὲν ὑγρὸν* ‖ 19 fort. *ὡς* vel *οἷον* pro *καὶ*

ρον οὖσαν] ἐντεῦθεν διασύρει τὸν ⌈Ἀνα⌉ξαγόραν καὶ τὸν Παρμε⌈νίδην⌉, οἵτινες ἔλεγον ἓν τὸ ὄ⌈ν⌉ καὶ ἄπειρον, εἶπω δ', ⌈ὅτι⌉ καὶ τὸν Ἀριστοτέλην, ὃ⌈ς⌉ τὴν τοιαύτην δόξαν ἀ⌈νε⌉τρεπε διὰ συλλογι⌈σμῶν⌉ γενναίων ἐν τῇ Φυσι⌈κῇ⌉ ἀκροάσει [*A* 6] καὶ διὰ ⌈παρα⌉δειγμάτων καὶ ἔλεγε τρία ⌈εἶναι⌉, ὕλην, εἶδος, στέρησιν, ⌈πο⌉τὲ δὲ δύο, ὕλην καὶ εἶδος. καὶ ἡ μὲν ὕλη ἀεὶ ὑπόκειται, ἀπὸ δὲ τῶν δύο ἐξ ἀνάγκης τὸ ἓν ὀφείλει ἀπεῖναι· εἴδους γὰρ ὄντος ⌈ἐξ ἀ⌉νάγκης στέρησις οὐκ ἔστι καὶ στερήσεως οὔσης οὐκ ἔστιν εἶδος. ταῦτα δὲ ὡς ἐν παρόδῳ διδάσκει ἐν τῷ ⌈πρώτῳ⌉ βιβλίῳ, ἐν δὲ τῷ δευτέρῳ ἀκριβέστερον καὶ ἀγωνιστικώτερον. ∼ ⌈V⌉φ. Addit V: ὅτι οὐκ ἔστιν ἕν· ὡς φυσικοὺς γὰρ τούτους ⌈ἀρι⌉θ⌈μεῖ⌉, διότι τὰ αὐτῶν βιβλία ἐπέγραψαν φυσικά, οὐ μέντοι γε δὲ ὡς θεολόγους. ∼

29 τὸ γὰρ* περὶ ἑνὸς προκειμένου κτλ.] αὐτὸ φάσκεις τὸ εἰδοποιοῦν τὴν ῥητορικὴν εἰς ἀναίρεσιν ταύτης παραλαμβάνων, ὥσπερ εἴ τις καὶ τὸ ζῷον ὁριζόμενον οὐσίαν ἔμψυχον αἰσθητικὴν πειρῷτο ἀναιρεῖν, ὅτι κατὰ διαφόρων τῷ εἴδει εὑρίσκεται τοῦτο ἓν ὄν. εἰ οὖν καὶ ἡ ῥητορικὴ δύναμίς ἐστιν εἰς ἑκάτερα τὰ ἀντιδοξούμενα ἐπιχειρεῖν πεφυκυῖα, οὐκ ἂν ἔμφρονι λόγῳ τὸ συνιστῶν αὐτὴν ἐπ' ἀναιρέσει ταύτης παραληφθείη· ἀναιρεῖ μὲν γὰρ τὸ προκείμενον εἰς ἐξέτασιν ἢ κατασκευάζει, αὐτὴ δὲ μᾶλλον ὑφέστηκε τὸ ἑαυτῆς ἐπιτελοῦσα ἅτε ἕδραία καὶ ἀναλλοίωτος διαμένουσα· οὐδὲ γὰρ οὐδὲ τέκτων ὁ τὴν αὐτὴν οἰκίαν ἔσθ' ὅτε μὲν συνοικοδομῶν ἄλλοτε δὲ καταλύων ἤδη καὶ αὐτὸς τὸ εἶναι οἰκοδόμος ἀναιρεθήσεται. ∼ ⌈2

μηδέποτε ὁμολογεῖν*] scholion erasum est; signum m 1 positum ∼ Γ

---

1 ἀ..ξαγόρου ἐς τὸν V ‖ 7 δὲ τῶν φ; τὰ, om. δὲ, V ‖ 8 ὀφείλει φ; ἀφ' V | ἀπεῖναι scripsi; εἶναι φ; om. V ‖ 13 φυσικούς V; cr. Solanus ‖ 18 αἰσθητικὸν ⌈2 ‖ 25 ὁ scripsi; εἰ ⌈2 ‖ 26 τὸ, ὁ incertum, ⌈2

οὐδέ εἰσι κτλ.] ⌜τὸ⌝ ἑξῆς· οὐδέ εἰσιν, ὡς ἔ⌜οι⌝κεν, οἱ *Στωι-* 30
κοὶ διάφορα δόγματα ἔχοντες ⌜τοῖς παρασί⌝τ⌜οις⌝. ~
Γ⌜V⌝ΦUΩ

πᾶσι πρὸς ἅπαντας ὁμολογία] ναὶ ἄλλοι παρ' ἄλλοις
ἀλλ' οὐχὶ πάντες παρὰ πᾶσι δεδοκιμασμένως παρασιτοῦσιν.
ἐπεὶ καὶ αὐτὸς ἀρχόμενος τῆς μωρολογίας ταύτης καὶ τέχνῃ
βουλόμενος προσαρμόζειν αὐτὴν οὕτω πως ἔφης ὅτι [c. 4]
"σύστημά ἐστι καὶ αὐτὴ ἐκ καταλήψεων πρῶτον μὲν τῷ
δοκιμάζειν καὶ διακρίνειν αὐτόν, ὅστις ἐπιτήδειος γένοιτο
τρέφειν αὐτὸν καὶ ὅτῳ παρασιτεῖν ἀρξάμενος οὐκ ἂν μετα-
γνοίη". εἰ δὲ τοῦτο, οὐκ ἂν παρὰ πᾶσιν οἱ αὐτοὶ παρα-
σιτοῖεν ἀλλὰ ἄλλοι παρ' ἄλλοις, ὡς μὴ τῷ ὄντι μιᾶς οὔσης
ἀλλὰ διαφόρου, ἀφ' ἧς διαφόρου ἄλλοι παρ' ἄλλοις εὐδο-
κιμοῦσιν. καὶ οὕτω διαδράσεταί σοι τὸ καὶ τὴν παρασιτι-
κὴν τῷ ἑνιαίῳ συνεστάναι, εἴ γε διαφορὰ καὶ τοιαύτη τε
καὶ τοσαύτη εὕρηται καὶ παρὰ ταύτῃ, ἀφ' ἧς μάλιστα καὶ
πλεῖον τῶν ἐνδιαβαλλομένων, μᾶλλον δὲ ἀληθέστερον πρὸς
τὸ ἀνύπαρκτον χωρήσει ἡ παρασιτική. ~ Γ

ἡ συμφορὰ — ὁμοία δοκεῖ γενέσθαι τῇ *Νικίου**] 34
ἧς μέμνηται Θουκυδίδης [7, 51 sq.] ναυμαχίας τῶν Ἀθη-
ναίων πρὸς τοὺς Λακεδαιμονίους περὶ Συρακούσας γενέ-
σθαι καὶ καταναυμαχηθῆναι ὑπὸ Γυλίππου τοῦ Λακεδαι-
μονίου. ~ VΦUΩ

ἆρ' οὐχ ὁ μὲν τὸ σῶμα πρῶτον πολὺς — θυμοειδής] 41
Ἀρέθα. ἄπαγε, κατάρατε· οἰνοποσίᾳ καὶ μέθῃ τοὺς ὀφθαλ-
μοὺς διεφθορὼς καὶ κρεώδης, ἐκκεκραγὼς δόξει θυμοει-
δής τις εἶναι, οὐ μέντοι καὶ ἔσται, ἀλλὰ παράφρων καὶ
παράφορος κατὰ τοὺς λυσσώδεις τῶν κυνῶν. ~ Γ⌜V⌝ΦUΩ.
Addunt VΦUΩ: ὃς καὶ διὰ τὸ πολυσαρκίᾳ καταπεφορτί-

---

1 στωικοὶ ἢ ἐπικούρειοι φ, cf. Luc. ‖ 8 ἐστι καὶ αὐτὴ om. Luc. | τὸ Luc. ‖ 9 αὖ Γ; om. Luc. | ὅστις ἂν Luc. ‖ 11. 12 παρασιτοῖεν scripsi; παράσιτοι Γ ‖ 21 πρὸς cod. Guelf.; καὶ cet. | 25 ἀρέθα UΩ; om. ΓVΦ | ἄπαγε Ω; ἄπαξ cet. | 26 ἐκκεκραγὼς edit.; ἐκκρεμακὼς Γ; ἐκκεκρακὼς V; ἐκκεκρεμακὼς ΦΩ ‖ 28 παράφορε V

σθαι καὶ κατερραστωνεῦσθαι τὴν γνώμην οὐδὲν γενναῖον οἰός τε ⌜ἐπ⌝ιδεδεῖχθαι, ἀλλὰ καὶ ὑπὸ τὴν πρώτην τοῦ πολέμου βοὴν φροῦδος ἂν γένοιτο ⌜ο⌝ὐδὲ τὸ βραχύτατον ὑ⌜πο⌝μείνας ταλαιπωρ⌜ία⌝ν. οὐ μὴν Σωκράτης ⌜τοι⌝οῦτος τὴν ἐπὶ Δηλίῳ ⌜μάχ⌝ην, ἀλλ' αὐτός τε ἀ⌜ριστε⌝ύων κατελαμβά⌜νετο⌝ καὶ ἄλλους ὑπεκφέρων τῆς μάχης καὶ διασῴζων, ⌜ὁ λε⌝πτός τε καὶ ὠχρὸς καὶ σκελετώδης ἅτε φιλόσοφος. ~

42 λείψαντα τὴν τάξιν ὑποστρέφειν] εἰς Δημοσθένην αἰνίττεται τοῦτο παθόντα. ~ VΦUΩ

τὸ κορυφαιότατος οὐκ ἔστιν Ἀττικόν. ~ ⌈2

Σκύθαις*] περὶ Δημοσθένους λέγει· Σκυθίδος γὰρ ἦν. ~ V⌈2ΦUΩ

43 Σωκράτης φεύγων*] μὴ συκοφάντει, κατάρατε· οὐχ οὕτω γὰρ ⌜ἀλ⌝λ' ἀριστεύων διετέ⌜θει⌝. ~ ⌜V⌝ΦUΩ

44 οὔτε τὸν Αἴαντα — θαυμάζει ὥσπερ τὸν Νέστορα] τῆς συμβουλῆς χάριν, οὐ τῆς παρασιτίας. τίνι γὰρ καὶ παρασιτήσει βασιλεὺς ἄνθρωπος καὶ ὅλην τὴν Πύλον μεθ' ἑαυτοῦ ἄγων εἰς συμμαχίαν τῷ φίλῳ καὶ τὰ χρηστὰ εἰσηγούμενος, ὡς ἐντεῦθεν καταφανὲς γίνεσθαι, ὅτι οὐ κολακεύων ηὐδοκίμει, ὃ παρασίτων ἐστὶν ἔργον, ἀλλ' ἀληθεύων, ὃ φίλου καὶ φιλίας κατόρθωμα. ~ ⌈2

46 Πάτροκλος] πελάτης Πάτροκλος Ἀχιλλέως καὶ ἔτης, ἀλλ' οὐ παράσιτος· πολὺ γὰρ τὸ διάφορον τῶν εἰρημένων πρὸς παράσιτον· οἱ μὲν γὰρ εἰς ἀδελφοὺς σχεδὸν τελοῦσι, παράσιτος δὲ καὶ τῶν δούλων ἀτιμότερος ὢν δείκνυται. ~ Γ

50 ὡς* ἄξιον κτλ.] εἰρωνεία. ~ VΦ

51 ὁ παράσιτος ἐπὶ τὸν σῦν ἀντιθήγει] ἀλλὰ καὶ λέοντα ἀντιβρυχήσεται ἢ καὶ λύκον ἀντωρυήσεται † αὖρα; τοῦτό μοι λέγε. ~ VΦU

52 δόξης καταφρονοῦντα*] οὕτω καὶ χοῖροι λεχθεῖεν δόξης καταφρονεῖν ἀεὶ τῷ βορβόρῳ καλινδούμενοι. ~ V⌈2ΦUΩ.

3 μηδὲ ΦUΩ ‖ 10 cf. sch. Soloec. 5 ‖ 17 ἄνθρωπος suspectum ‖ 28 ἀντωρυήσεται; ἆρα; Brinkmann ‖ 31 καλινδούμενοι Γ; πλαττόμενοι V

Addit ⌈2: ἢ τί ποτε καὶ δόξαν ἀποτῖκτον ἕξει παράσιτος; ὃ δέ τις οὐκ ἔχει, πῶς τούτου καταφρονεῖν ὑπό γε νοῦν ἐχόντων λεχθείη; ~

οὐδέ τι μᾶλλον θορυβεῖται] μεθύων δήπου καὶ τῷ 55
ἀκράτῳ καὶ τῷ κόρῳ τὰς αἰσθήσεις τεθολωμένος ὢν καὶ μηδὲ μικρὸν ἀνανῆψαι δυνάμενος· ἑλκυσθείη δὲ καὶ ἀπὸ τοῦ σκέλους καὶ περιδυθείη τῶν γινομένων μὴ ἐπαισθανόμενος. ~ ⌈2

εἰπεῖν δίκην*] εὐτελοῦς καὶ παρεωραμένου τίς δίκη; τίς 56
γὰρ καὶ κατὰ κυνὸς ἀποίσεται γραφήν; ~ VUΩ

καταπρησθέντας κτλ.] φαρμάκῳ ὡς Σωκράτης, κατα- 57
πρησθέντας τὸ σῶμα ὡς Ἡράκλειτος ὁ Ἐφέσιος, φθινήσαντας ὡς Ἀντισθένης, φυγόντας ὡς * * ~ VφUΩ

ὅπως γε μὴν κτλ.] ἐλλειπτικῶς ἡ φράσις ἔχει· προσυπα- 59
κούεται γὰρ τὸ μαθεῖν ἔστιν. ~ ⌈2

τούτου* προεσθίοντος] τοῦτο καὶ μυῖαι ποιοῦσιν, ἀλλ' οὐδεὶς ἐπαινέσεται μυῖαν προγευομένην τῶν ἀνθρώπων τῶν ἐδεσμάτων. ~ V⌈2UΩ

οὐκοῦν ὁμοίως ἂν ἐθέλοις καὶ τοῦ ἐσθίειν μᾶλλον 61
παρασιτεῖν;] λοιπὸν καὶ τοῦ βλέπειν τὸ παραβλέπειν καὶ τοῦ θεωρεῖν τὸ παραθεωρεῖν καὶ τοῦ λογίζεσθαι τὸ παραλογίζεσθαι καὶ τοῦ συλλογίζεσθαι τὸ παρασυλλογίζεσθαι καὶ τοῦ φρονεῖν τὸ παραφρονεῖν καὶ τοῦ κρίνειν τὸ παρακρίνειν. ~ ⌈2

34. *Φιλοψευδὴς ἢ Ἀπιστῶν.*

οὐδὲν* πρὸς ἔπος ταῦτα] ἀντὶ τοῦ οὐδὲν ⌈πρὸς τὸν 1
λόγον⌉, ὃν ἠρόμην. ~ ⌈V⌉φ

---

1 ἢ ⌈2; fort. εἰ ‖ 10 καὶ UΩ; om. V | ἀπείσεται V ‖ 12. 13 ἀπὸ δυσουρίας φθινήσαντας Luc. ‖ 13 ὡς (post φυγ.) UΩ; om. V; φυγόντας ὡς om. φ; excidit Ξενοφῶν? cf. Dion. Chrys. 64, 18 τὴν Σωκράτους καταδίκην καὶ τὴν Ξενοφῶντος φυγὴν καὶ τὸν Φερεκύδους θάνατον κτλ. ‖ 20. 21 τοῦ β. τὸ π. — τοῦ θ. τὸ παραθεωρεῖν scripsi; τὸ β. τοῦ π. — τὸ θ. τοῦ παραθεωροῦ ⌈2 ‖ 25 versuum, qui in φ titulo ascripti sunt, haec

2 εἶ* γε τὸ χείριστον κτλ.] αὐτὸς καθ' ἑαυτοῦ ⌜κό⌝νιν ἀμᾷ ταῦτα ⌜δι⌝ξιών. ~ ⌜V⌝φ

ἐκ* γυναικός τις ἐς ὄρνεον ἢ ἐς ἄρκτον μετέπεσεν] ὡς Πρόκνη καὶ Φιλομήλα καὶ Καλλιστώ, ἡ μὲν εἰς ἄρκτον, Πρόκνη δὲ καὶ Φιλομήλα εἰς ὄρνεα μεταβληθεῖσαι. ~ VΦ, cf. φ

3 Κοροίβου* — Μαργίτου] ὁ μὲν Κόροιβος μωρός τις ἀπομνημονεύεται ἄνθρωπος καὶ οὕτως ὥστε γυναῖκα ἀγαγόμενος μὴ ἂν ἐλέσθαι συγκαθευδῆσαι αὐτῇ διὰ τὸν πρὸς τὴν πενθερὰν αὐτοῦ φόβον· καὶ οὕτως ἐχόμενον τοῦτον παρθενεύειν αὐτήν, μέχρις ἂν τῆς γυναικὸς σκεψαμένης τὸ ἄρθρον ὀδύνῃ συνέχεσθαι καὶ οὐκ ἄλλως ἀπολυθῆναι, εἰ μὴ τῷ μορίῳ τοῦ ἀνδρὸς καταψηθεῖσαν· οὕτω τὴν κοινωνίαν τότε τοῦ γάμου γενέσθαι. ὁ δὲ Μαργίτης μωρὸς καὶ αὐτὸς τὰ κύματα μετρεῖν ἐπιχειρῶν. ~ Vφ

5 πρὸς τῆς* Ἑστίας] τὴν Ἑστίαν εἰς ὅρκον παρέλαβεν ὡς κατ' οἶκον αὐτοῦ πυνθανόμενος καὶ τὸ πρόχειρον κατὰ τῆς ἐφεστίου ἐσχάρας αὐτὸν ἐξορκῶν. ~ Vφ

8 ⌜κατ⌝εγνωκότες πολλὴν τὴν ⌜ἄ⌝νοιαν: αἰτιατικὴ ⌜ἀ⌝ντὶ γενικῆς Ἀττικῶς. ~ ⌜V⌝

9 ἦλῳ, φασίν, ἐκκρούεις τὸν ἦλον: παροιμία ἐπὶ τῶν ἀσ⌜υμ⌝φόροις ἀσύμφορα π⌜ι⌝στουμένων, ὥσπερ καὶ ἐπὶ τῶν ψευδῶν εἴρηται τὸ ⌜'λίνον⌝ λίνῳ συνάπτεις'. ~ C⌜V⌝φ

---

fragmenta legi: μορμους ἑκάστασ λ? ⏜οο γ? ξ | φασ και πωσ? ἀπιστῶν ὧδε πλαστο? | τοσ ὡσ? πο? ποιητι? α μ? πρ(τ?) τ? ατ? φιλοσ φ?λεβων | ἀλλωσ γὲ πᾶσαν μυθικὴν παίζων σύρει: —

4 cf. Arethas in Dion. Chrys. IV 105 (p. 101 Sonny) ‖ 8 haec solent de Margite narrari, ut ab Aretha in Dion. Chrys. LXVII 4, a Phot. s. v. Μαργίτης; sic etiam Vat. 942: ὅτι ὁ κόροιβος ἐπὶ τοσοῦτον ἦν μωρὸς ὅτι καὶ τὰ κύματα μετρεῖν ἐπεχείρει. ὁ δὲ μαργίτης καὶ αὐτὸς μωρότερος· γυναῖκα γὰρ κτλ. | ὥστε V; ὡς καὶ φ ‖ 9. 10 τὸ εἰς τὴν V ‖ 12 οὐκ ἂν ἄλλως ἰαθῆναι Vat. 942 | 13 καταψηθείη Vat. 942 | καὶ οὕτω Vat. 942 φ ‖ 16 cf. sch. Hermot. 35 ‖ 19 μου πολλὴν V text., cf. Luc. vulg. | cf. sch. Ver. hist. II 20 ‖ 21 cf. sch. Pro laps. 7 ‖ 23 λίνω λίνον Cφ

καὶ διὰ τοῦτο ἐκ κτλ.] ὡραῖον. ~ Γ

ἐξ Ὑπερβορέων κτλ.] ὡραῖον. ~ Γ 13

καρβατίνας*] καρβατίναι τὰ τραχέα καὶ ποιμενικὰ ὑποδήματα, ἃ καὶ ἀρβύλας φασίν. ~ VCφ

ἔρωτας ἐπιπέμπων κτλ.] ὡραῖον. ~ Γ

εἶτα βοῦς κτλ.] σημείωσαι. ~ Γ 14

Ὑπερβορέους κτλ.] ὡραῖον. ~ Γ 15

ἦν ψόφον ἀκούσῃ κτλ.] σημείωσαι. ~ Γ

τὸν Σύρον... τὸν ἐπὶ τούτων σοφιστὴν κτλ.] οὐαί 16
σοι, Λουκιανὲ ἄθεε· σοφιστὴς ἦν ὁ κύριος καὶ θεός μου καὶ μισθοὺς ἐλάμβανε τῆς νοσούντων σωτηρίας; ἡ γῆ δὲ διαστῆναι δυναμένη τηνικαῦτα, ὅτε σὺ ταῦτ' ἐλήρεις, τί παθοῦσα μὴ διέστη καταπιοῦσα σὲ τὸν ἀλιτήριον; ἢ οὐδὲν ἄλλο γε ἢ μυσαχθεῖσα; ~ Vat. 1325

Πολυκλείτου] ὅτι γραφεὺς ἦν ὁ Πολύκλειτος καὶ ὁ Εὐφράνωρ, οὐχὶ ἀγαλματοποιοί. ~ CΦ 18

—] γραφεὺς ὁ Πολύκλειτος, ὥσπερ καὶ ὁ Εὐφράνωρ, καὶ πῶς ⟨ὡς⟩ ἀγαλματοποιὸς νῦν εἰσάγεται, θαυμάζω. ~ V

τοῦ πώγωνος κτλ.] ὡραῖον. ~ Γ

Δαιδάλου* τεχνημάτων κτλ.] τοῦτο οὐ μάτην εἶπεν, 19
ἀλλ' ἐπειδὴ πρῶτος Δαίδαλος ἄγαλμα εἰργάσατο περισκελές, τῶν πρὸ αὐτοῦ πάντων τεχνιτῶν συμβεβηκότα τὸ πόδε ἀποτελούντων, παρέσχε φήμην, ὡς τὰ Δαιδάλου ἀγάλματα κινεῖται αὐτόματα. ~ ΓVΦ

ἐν κύκλῳ ψοφῶν κτλ.] ὡραῖον. ~ Γ 21

ἡμισταδιαίαν] πεντήκοντα ὀργυιῶν. ~ Vφ 22

ὀφιόπους ἦν κτλ.] σημείωσαι. ~ Γ

οἷοι ὄντες αὐτοὶ κτλ.] ὡραῖον. ~ Γ 23

ἐπιμετρήσαντος*] ἀντὶ τ⌜οῦ προσθέντος⌝. ~ ⌜V⌝φ 24

---

15 fort. ὥσπερ καὶ, cf. lin. 17 ‖ 18 ὡς addidi ‖ 22 συμβεβηκότων Γ; συμβεβηκότων, λ et ας m 2, Φ; συμβεβληκότων V; συμβεβηκότε Vat. 942; συμβεβληκότα sch. in Plat. Euth. 11 B (cf. Diodor. IV 76 πρῶτος — διαβεβηκότα τὰ σκέλη ποιήσας)

29 *Ἀρίγνωτος εἰσῆλθε κτλ.*] ὡραῖον. ~ Γ

θεὸν ἀπὸ μηχανῆς] ἐπὶ τῶν θεάτρων ἡνίκα τι παράδοξον ἐπιτελεῖσθαι ἔδει καὶ πλέον πίστ⌜εως⌝, ἄνωθεν ὑπὲρ τὰς παρ' ἑκάτερα τῆς μέσης τοῦ θεάτρου θύρας — αὗται δὲ πρὸς τὴν εὐθεῖαν ⌜τοῦ⌝ θεάτρου πλευρὰν ἀν⌜ε⌝ῴγασιν, οὗ καὶ ἡ σκη⌜νὴ⌝ καὶ τὸ προσκήνιόν ἐστι — ⌜μη⌝χανῶν δύο μετεωριζομ⌜ένων⌝ ἡ ἐξ ἀριστερῶν θεοὺς καὶ ἥρωας ἐνεφάνι⌜ζε πα⌝ρευθὺς ὥσπερ ⌜λύσιν⌝ φέροντας τῶν ἀμ⌜ηχά⌝νων⌝. καὶ τούτῳ παραδη⌜λουμένου⌝, ὡς οὐ χρὴ ἀπιστεῖ⌜ν τοῖς⌝ δρωμένοις, ἐπεὶ θεὸ⌜ς πά⌝ρεστι τῷ ἔργῳ, ᾧ ⌜μηδὲν⌝ ἀδύνατον ἐκτελεῖ⌜ν, ἐκ τού⌝του καὶ ἐπὶ πάντων τῶ⌜ν παρὰ⌝ προσδοκίαν καὶ ⌜συμφε⌝ρόντως τινὶ συμβ⌜αινόντων⌝ ἐπεκράτ⌜ησ⌝ε ⌜λέγεσθαι⌝ τὸ ‘ἐκ μηχ⌜ανῆς θεός⌝’. ~ C⌜V⌝Φ

31 ἕωλος*] ⌜τὸ ἕωλος λαμβάνεται καὶ ἐπὶ τοῦ χθεσινοῦ καὶ ἐπὶ τοῦ ἤδη διεφθορότος⌝. ~ ⌜V⌝CΦ

32 *ἐσθῆτι μελαίνῃ**] ὅτι τοὺς νεκροὺς οἱ παλαιοὶ μελαίναις στολαῖς ἀμφιέννυσαν. ~ VCΦ

33 *ἐς** Κοπτόν*] Κοπτὸς πόλις ⌜Αἰγύ⌝πτου, εἰς ἣν φ⌜ασι τὴν⌝ ⌜Ἶσιν ἀφικομ⌜ένην τὸν Ὄ⌝σιριν τὸν υἱὸν ἀ⌜ναζητεῖν⌝· μαθοῦσαν δὲ αὐ⌜τὸν διεσπα⌝ράχθαι τὴν ⌜κόμην τὴν⌝ ἑαυτῆς ⌜ἐκκόψαι, παρ⌝ὸ καὶ Κο⌜πτὸς ὠνομάσθη⌝ ἡ πό⌜λις. ἐδείκνυτο δὲ⌝ καὶ ὁ πλ⌜όκαμος τοῖς ἐπιδη⌝μο⌜ῦσιν αὐτόθι, ἄπιστόν⌝ τι τριχῶν πλῆθο⌜ς⌝, ὅσον ἐξ ἀνθρώπου κεφαλῆ⌜ς⌝ εἰκάσαι. ~ VCΦ

34 *ἄνθρωπον ὄντα κτλ.*] ὡραῖον. ~ Γ

37 *παραδόξους ταύτας κτλ.*] ὡραῖον. ~ Γ

35. *Θεῶν κρίσις.*

1 *ἡδέως ἂν κτλ.*] ὡραῖον. ~ Γ

2 *τὸν Μῶμόν φασι πάντα μὲν ἐπαινέσαι τὰ Ἀφροδίτης καὶ*

---

2 sch. ad τεράστια relat. V ‖ 5 δὲ οὐ τὴν C ‖ 7 δύο VΦ; δὲ C ‖ 14 ἕωλον C ‖ 19. 20 μαθοῦσα CVΦ ‖ 22 δὲ om. C ‖ 29 ὅτι τὸν — ὦ σκῶψαι ὀνν. ἀπορούμενος τὸν σάνδαλον ὅτι τρίζει κατεμέμψατο, om. cet., C

μηδὲν ἔχειν, ὃ σκώπτειν δυνηθείη, τὸ σάμβαλον δὲ αἰνίττεται. τοῦτο τί; τὸ πάντα μὲν ἔχειν αὐτὴν τῇ συμμετρίᾳ τῶν μελῶν εὐρυθμότατα, ἀλλὰ τό γε τῆς χρήσεως τούτων πρὸς τὸ ἀκόλαστον ἀποκλίνειν ἐπίμωμον τοῦτο τοῖς σώφροσι νενομίσθαι· πέφυκε γὰρ ἀεὶ πούς τε καὶ τὰ ποδὸς πάντα τὰ τοῦ ἡμετέρου βίου συμβολικῶς παραδεικνύναι. ~ BUΩ, cf. C

νέον ὄντα καὶ καλόν] *προσαγωγικὰ ῥήματα.* ~ Ω 13

ad finem: *ἐμφρόνως, ὦ Λουκιανέ, καὶ εὐφυῶς διέπαιξας καὶ ἠτίμασας τὰ παρὰ τοῖς Ἕλλησι τίμια.* ~ U

36. *Περὶ τῶν ἐπὶ μισθῷ συνόντων.*

Ὁ λόγος οὗτος τῶν καλλίστων καὶ πρώτων. ~ Δ

Σημείωσαι, ὡς ὁ λόγος οὗτος λίαν ἐστὶ χρησιμώτατος ἠθικός τε ὢν καὶ παιδευτικὸς καὶ πεφρασμένος καλῶς. ~ U

οἱ πρὸς τοῖς ἱεροῖς, ἐξυρημένοι κτλ.*] *οἵῳ τὸ πάλαι* 1
οἱ ναυαγήσαντες ἄνθρωποι ἐκέχρηντο σχήματι πρὸς τοῖς ἱεροῖς καθήμενοι καὶ τὴν αὐτῶν τύχην ὀλοφυρόμενοι. ~ ΔΕφΟΩ

ἑκόντες εἶναι] *σημείωσαι, ὅτι τῷ ἑκόντες εἶναι ἄνευ ἀπο-* 2
φάσεως ἐχρήσατο. ~ ΕΟΩΔ

τῆς τριαίνης κτλ.] *σημείωσαι.* ~ Ε 3

*ῥήτωρ**] *Δημοσθένης ἐν Φιλιππικοῖς* [3, 33] *ταῦτά φησι,* 5
τοῖς τῶν νοσούντων] *ἐοικότα σιτίοις,* ⌈*ἃ*⌉ *οὔτε σῴζουσιν οὕτ'*] *ἀπολλύναι δύνανται*]. ~ ⌈V⌉ΕφΟΩΔ

---

1. 2 fort. *αἰνίττεσθαι* ‖ 3 *τό* Ω; *τῶ* B; evan. U | haec vix sana ‖ 10 *τ̄* *ελλ*ο *τίμια* legi in U ‖ 19 *σημείωσαι* om. OΔ | *τὸ* codd. | cf. sch. Demosth. laud. 43 ‖ 23 *σιτίοις ἐοικότα* Δ | *σώζειν* — 24 *ἀπολλύειν* Δ | *τοῖς τῶν νοσ. σιτίοις ἐοικότα* sunt Luciani verba; Demosthenes dixit: *τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε· καὶ γὰρ ἐκεῖν' οὔτ' ἰσχὺν ἐντίθησιν οὔτ' ἀποθνήσκειν ἐᾷ* | Fritzsche scholion sic emendandum censet: *Δημοσθ. — σιτίοις ἐοικότα, ἃ οὔτε ἰσχὺν ἐντίθησιν οὔτε ἀποθνήσκειν ἐᾷ, ἤγουν οὔτε σῴζειν οὔτ' ἀπολλύναι δύνανται*

6 εὐχῇ*] ⌜αἱ γὰρ εὐχαὶ ὡς ἐπίπαν τὰ ἀδύνατα προβάλλονται⌝. ~ ⌜V⌝EΦOΩΔ

7 τρίβωνες*] Ἀριστοφάνειος ἡ λέξις, σημαίνει δὲ τοὺς ἐγγεγυμνασμένους τινὶ πράγματι καὶ διὰ πολλῆς πείρας ἐληλακότας. ~ EVOΩΔ

10 θυραυλίας*] τῆς ἐν ταῖς θύραις προσεδρίας. ~ MΩ

11 ἴλιγγος*] ὅταν περὶ τὴν καρδίαν στρόφος γίνηται, ἐπακολουθεῖ σκότος καὶ τοῦτο πάθος καλοῦσιν ἴλιγγον. ~ Ω

καταδικάσας*] ἀντὶ τοῦ κατηγορήσας. ~ EVφ

13 ἀμέλξεις* ὀρνίθων γάλα] παροιμία ἐπὶ τῶν ὑπερφυῶς ἀγαθῶν, ὅταν τινὶ προσρυῇ, λεγομένη τὸ ὀρνίθων γάλα. ~ ECVφOΩΔ

ὀρνίθων γάλα: τὸ λευκὸν τοῦ ᾠοῦ. ~ Δ

καὶ τοῦτο δὴ τὸ κτλ.] σημείωσαι. ~ E

14 ἀκκισάμενος*] προσποιησάμενος, ὑποκρινάμενος. ~ Ω

ad cap. 14 fin. — 16 init.: σὺ δ' εἰπέ μοι, πόθεν ταῦτ' εἰδὼς οὕτως ἀκριβῶς γράφεις, Λουκιανέ. πάντως δ', εἰ μὴ πέπονθας, οὐκ ἂν μεμάθηκας· πῶς οὖν ἐγκαυχᾷ μὴ τοῦ τοιούτου βίου πεῖραν ὅλως λαβεῖν; ἀλλ' ἐρεῖς, ὡς ἐξ ἄλλων διηγουμένων ἱστόρησας· ἐχρῆν οὖν καὶ μάλιστα καὶ τόν, ὃν διασύρεις, ἐπιμελέστερον ἐρωτῆσαι καὶ τὰ πάντα μαθεῖν, ἵνα μὴ διαγελῶτο τῆς τῶν δρωμένων ἀπειρίας ἕνεκα καὶ παρὰ σοῦ ἐπισκώπτοιτο. ~ Δ

15 ἐκ περιωπῆς*] ἐκ φροντίδος ἢ περισκέψεως. ~ MΩ

οἰνόφλυξ] φλύειν ἐστὶ τὸ ὁρμὴν ἔχειν πρός τι· ὅθεν οἰνόφλυξ ὁ εἰς τὸν οἶνον ὁρμῶν. ~ Δ

16 ὡς ξηλωτόν τινα βιώσῃ κτλ.] νηπιόφρονα φῂς τὸν φιλόσοφον, εἰ τοιαῦτα λογίζοιτο. ~ Δ

φιλοτησίαι] φιλοτησία ἐστίν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν τὸ λοιπὸν παράσχῃ φίλῳ καὶ τὴν φιάλην χαρισάμενος. ~ Δ

---

7 γίνηται, η ex ε cr. m. rec., Ω ‖ 8 fort. τοῦτο τὸ ‖ 10 ὑπερφυῶν codd. ‖ 25 φλόειν Δ ‖ 30 μέρος post πιὼν add. sch. Gall. 12, cf. Phot.

ποτνιώμενον] ὅτι ποτνιᾶσθαί ἐστι τὸ δυσφορεῖν καὶ μετ' οἰμωγῆς παρακαλεῖν. ~ Vat. 942

νῦν μὲν γὰρ ὥσπερ κτλ.] ὡραῖον. ~ E 17

ὑπ' αἰδοῦς αὐτῷ ἐπέτρεψας κτλ.] παναληθῆ ταῦτα, ὦ 20

Λουκιανέ· πέπονθα γὰρ κἀγὼ τὰ ὅμοια καὶ πολλαῖς ὑποσχέσεσιν ἐξαπατηθεὶς οὐ τὴν τυχοῦσαν ἐς ὕστερον ἔσχον μεταμέλειαν, εἰ καὶ μηδὲν ὠφελήθην μεταμελούμενος. ~ U

κιγκλίδος] ὅτι κιγκλίς ἐστι τὸ λεγόμενον κάγκελλον. ἔστι 21

δὲ καὶ κίγκλος εἶδος ὀρνέου τὴν ὀσφὺν πολλὰ κινοῦντος, ὃ τινὲς σεισοπυγίδα καλοῦσιν· ἔστι δὲ καὶ σφόδρα λεπτόν, ὅθεν καὶ ἡ ἱπτωχότερος κίγκλου' παροιμία. ~ Vat. 942

ἐπὶ τὰ Μανδροβούλου* χωρεῖ: παροιμία κατὰ τῶν ἐπὶ τὸ χεῖρον προκοπτόντων ἀεί· ὁ γὰρ Μανδρόβουλος οὗτος εὑρών ποτε θησαυρὸν ἐν Σάμῳ χρυσοῦν πρόβατον ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ δευτέρῳ ἔτει ἀργυροῦν καὶ τῷ τρίτῳ χαλκοῦν. ~ CEVφOΩΔ. Addunt EΔ: μέμνηται Πλάτων ὁ κωμικὸς [fr. 54. C. A. F. I 615 K.] ἐν Διὶ κακουμένῳ. ~

ἀεικελίῳ] ματαίῳ. ~ Γ 23

συγκλύδων*] συμμίκτων, ἀγελαίων. ~ ΔMΩ 24

ὑπὸ* κώδωνι] σημείωσαι, ὅτι σύνηθες ἐκ παλαιοῦ Λατίνοις ὑπὸ κώδωνι ἐκκλησιάζειν. ~ VEφOΩΔ

καθάπερ ὁ λάβραξ κτλ.] ὡραῖον. ~ E

βάδην: ἠρέμα ἢ θᾶττον ἢ ταχέως. ~ Δ 26

διψῶντα*] τὸ ἑξῆς διψῶντα κεκραγέναι ἐπιμελούμενον, 28

ὡς ἐπίσημος ἔσῃ καὶ κορυφαῖος. ~ VEφOΩΔ

προσεπιμετροῦντες*] ἀντὶ τοῦ καὶ πέρα τοῦ εἰκότος ἐπι- 29

σκοποῦντες. ~ EVφOΩΔ

ἐν ὄχλῳ] ὄχλος ἐνταῦθα οὐ τὸ πλῆθος ἀλλ' ἡ ὄχλησις. ~ Δ 30

φθόην] τὴν φθίσιν, ἥτις ἐξ αἵματος ἐπιβολῆς. ~ Δ 31

καλέσασα κτλ.] ὁ καλὸς κἀγαθὸς Λουκιανὸς ὁ πάντας 34

---

7 ὠφεληθῆ U ‖ 8 κάγγελον Vat. 942 ‖ 12 παροιμία om. C ‖ 15 καὶ om. CVφOΩ ‖ 19 συμμ., ἐπηλύδων, παρεισάκτων MΩ, cf. Phot. s. v. συγκλύδων ‖ 20 σημείωσαι om. VOΔ ‖ 23 cf. sch. Catapl. c. 2 ‖ 29 ἀναγωγῆς pro ἐπιβολῆς Phot.

καλῶς ἐλέγξας καὶ πάντων τὰ ἤθη παιδεύσας ἄτιμος μένει ἐν Καλαβρίᾳ. ~ E m. post.

εὖ ποιήσειν με τὸ περισπούδαστον — κυνίδιον κτλ.] λοιπὸν μακαριστέοι οἱ ἵππους καὶ ἡμιόνους καὶ ἀχθοφόρα ζῷα καὶ ἁμάξας μετακομίζοντες, ἴσως δὲ καὶ θεραπαινίδας τινὰς καὶ τιτθίδας σὺν ἑαυτοῖς διασῴζοντες ὡς τοῦ κυνιδίου πολὺ τιμιωτέρου. ~ U

37 ἐφεστρίδιον*] μανδύαν τινά, ἄμεινον δὲ κεκρύφαλον νοεῖν. ~ ECVφΩ

39 ἀπανθισάμενος κτλ.] ὡραῖον. ~ ΓE

41 βιβλίοις, ὧν χρυσοῖ μὲν οἱ ὀμφαλοὶ κτλ.] ὡραῖον ἄγαν καὶ σχεδὸν ἀληθές. ~ E

37. Ἀνάχαρσις ἢ Περὶ γυμνασίων.

2 οἶμαι τῆς ψάμμου κτλ.] σημείωσαι. ~ Γ

3 οὑτοσὶ δίσητησι κτλ.] ὡραῖον. ~ Γ

6 ἄπαγε ὦ Σόλων κτλ.] ὡραῖον. ~ ΓV. Addit V: πάνυ. ~

8 παγκρατιάζειν κτλ.] σημείωσαι. ~ Γ. Addit Γ2: τί ἐστι τὸ παγκρατιάζειν. ~

ἆθλα κτλ.] σημείωσαι. ~ Γ. Addit Γ2: τίνα τὰ ἆθλα τὰ διδόμενα τοῖς ἀγωνιζομένοις. ~

11 παρ' ἡμῖν δὲ κτλ.] ὡραῖον. ~ Γ

12 ἀρετὰς ἀνδρῶν κτλ.] ὡραῖον. ~ Γ

14 διοδεύσας μέγαν — ξυγγραφέα τινὰ εἶναι] ὡραῖον ὅλον. ~ Γ

17 ὅπως* κτλ.] ἐλλειπὴς ἡ φράσις τοῦ συμπεριεκλείοντος προστακτικοῦ ῥήματος καὶ συνήθης Ἀθηναίοις, οἷον ὡς ἐπὶ τούτου 'ἀλλ' ὅπως μοι μηδὲν δυσχερῶς ἀκούσῃ'· προσυπακούεται γὰρ τὸ μέμνησο. οὕτως οὖν καὶ ἐνταῦθα ἐλλειπ-

---

4 : λοιπ̄: sic scholio praefixum ‖ 7 πολυτιμιω̄ U ‖ 25 ἐλλιπὴς Φ ‖ 27 δυσχερὲς V

τικῶς πρόεισιν ὁ λόγος "καὶ ὅπως μὴ καθάπερ νόμοις προσέξεις οἷς ἂν λέγω πρὸς σέ, ὡς ἐξ ἅπαντος πιστεύειν αὐτοῖς, ἀλλ' ἔνθα ἄν σοι μὴ ὀρθῶς τι λέγεσθαι δοκῇ, ἀντιλέγειν εὐθὺς καὶ διευθύνειν τὸν λόγον". λείπει γὰρ τὸ σκόπει, ἵν' ᾖ τὸ τέλειον οὕτως 'ἀλλ' ἔνθα ἄν σοι μὴ ὀρθῶς τι λέγεσθαι δοκῇ, σκόπει ἀντιλέγειν εὐθὺς καὶ διευθύνειν τὸν λόγον'. ἀναλαβὼν δ' οὖν ἄνωθεν τὸν λόγον ἀπὸ τοῦ "καὶ ὅπως μὴ καθάπερ νόμοις προσέξεις" καὶ ὅλον ἐπελθὼν εἴσῃ σαφέστερον τὸ λεγόμενον, ὅτι οὕτως χρὴ ἐλλειπῶς ἔχοντα τοῦτον νοεῖν καὶ οὕτως τοῦ ἐλλειποῦς ἀναπληρούμενον. ~ ΕVΦUΩ

φόνου κτλ.] ὅτι ἡ ἐν Ἄρειῳ πάγῳ βουλὴ φόνου ἐδίκαζεν ἢ τραύματος ἐκ προνοίας ἢ πυρκαϊᾶς. εἰ δὲ Παῦλον τὸν Θεῖον μηδὲν τούτων πεποιηκότα ἐκεῖ Ἀθηναῖοι ἀνῆγον, οὐ χρὴ θαυμάζειν ἢ διαπορεῖν· καινότητα γὰρ εἰσηγούμενον δόγματος τίνι ἂν ἄλλῳ ὑπόδικον καθίστων ἢ τοῖς ἐπισκέπτεσθαι δυναμένοις ἤθει τε σεμνῷ καὶ λόγων περιουσίᾳ, οἷοι τοῦ κριτηρίου τούτου προὐκάθηντο ἐκ Στωικῶν τὰ μάλιστα συγκεκροτημένοι, οἷς ἡ περιττότης τοῦ λέγειν παρ' Ἕλλησι προσμαρτυρεῖται; ~ Ε 19

βελτίω παρὰ πολὺ κτλ.] σημείωσαι. ~ Γ 20

τὸ βέλτιον καὶ τὸ παράδειγμα κτλ.] ὡραῖον. ~ Ε

κοινοὺς ἐκδιδάσκοντες — καὶ πράττειν] σημείωσαι. χρήσιμον. ~ Γ 22

καὶ τέλεον ἀσυμπαγῆ — καταμαλάττομεν] σημείωσαι. χρήσιμον. ~ Γ 24

ἄτοπον γάρ, εἰ κτλ.] ὡραῖον. ~ Ε

συμπλακεὶς καταρρίψει κτλ.] σημείωσαι. ~ Γ

δυσμενέσιν ἐμποιήσαντας — τί ἄν τις] σημείωσαι. ὡραῖον ὅλον. ~ Γ 25

ἀθέρας: τὰ τοῦ ἀστάχυος κέντρα. ~ Ε m. post.

ἐπάρδον τῇ κτλ.] σημείωσαι. ~ Γ 26

---

16 δόγμα̃ Ε ‖ 17 σεμῶ Ε (vix est σεμνω)

27 βεβαίως*] εὐφραδὲς ἄγαν καὶ ἐναργὲς καὶ γοργὸν τὸ χωρίον. ~ E

ἄλλο τι* κτλ.] τὸν δίσκον λέγει· ἡ γὰρ σφαῖρα σόλος ἐκαλεῖτο. ~ EφUΩ

ὄχανον ὁ λῶρος τῆς ἀσπίδος. ~ φ

ἀναρριπτοῦσιν*] ⟨ἀναρριπτοῦντες ἄλα πηλῷ⟩ ὁ ποιητὴς ὡς ἀπὸ πρώτης συζυγίας ἔκλινεν. ~ Γ

29 διαρκεῖν ποιεῖ κτλ.] σημείωσαι. ~ Γ

καὶ συγκεκροτημένος κτλ.] ὡραῖον. ~ Γ

32 δίδασκε αὐτοὺς κτλ.] σημείωσαι. ~ Γ

γέρρον*] τετράγωνον σ⌈κ⌉πασμα ἐκ στερεᾶς ⌈βύρ⌉σης, ᾧ ἀντὶ ἀσπί⌈δος⌉ ἐχρῶντο Σκύθαι ⌈ἐν⌉ τοῖς πολέμοις σκ⌈επό⌉μενοι. φέρεται δὲ καὶ ⌈ἐπὶ⌉ ἄλλων σημαινομένων ⌈παρὰ⌉ τοῖς παλαιοῖς· ⌈παρ' Ἐ⌉πιχάρμῳ [fr. 235. Com. Graec. Fr. I 1 p. 132 Kaibel] μὲν γὰρ ⌈⟨γέρρα Νά⌉ξια⟩ εἴρηται ἐπὶ ⌈τῶν αἰ⌉δοίων, Ἀλκμὰν [fr. 133 Bergk] ⌈δὲ ἐ⌉πὶ τῶν οἰστῶν τέ⌈θεικε⌉ τὴν λέξιν, Δημοσθέ⌈νης⌉ [18, 169] δὲ ἐπὶ τῶν σκη⌈ωμάτων⌉ καὶ τῶν περιφραγμάτων ⌈οἷον⌉ ⟨καὶ τὰ γέρρα ἐνεπίμπρασαν⟩. καὶ παρ' Αἰγυπτίοις δὲ τὸ κατὰ τὸ Πηλούσιον καλούμενον διὰ τοῦτο ὠνομάσθη, ἐπεὶ σκη⌈ώμα⌉τά ἐστιν, ἐν οἷς παραφυλάττοντες τὰς εἰσόδους διατρίβουσιν. καὶ Ἀριστοφάνης [fr. 763. C. A. F. I 573 K.] ὡς ἐπὶ φυλακῆς τινος καὶ μοχ⌈λοῦ⌉ τροπικῶς παρέλαβε τὴν λέξιν. ~ EC⌈V⌉φUΩ. Addit E: τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς Ἀγρίοις Φερεκράτους [fr. 17. C. A. F. I 150 K.] ⟨γέρροις ἀποσταυροῦνται⟩. ~

34 ἀκινάκην*] ἀκινάκης ἡ ῥομφαία ἤτοι ἡ σπάθη παρὰ τοῖς Σκύθαις. ~ VECΩ

---

3 σόλος M Laur. 32, 13; σόλων EU; σόλιον edit. ‖ 6 ἀνερρίπτουν Hom. ν 78; ἀναρρίπτειν Hom. η 328 ‖ 11 cf. sch. Dial. mort. XII 2 ‖ 12. 13 σκεπ|ομένοι in ras.; ex ασμένοι, E; σκεπτόμενοι C ‖ 15 γὰρ om. C; ante εἴρηται V | γερραιναξία ECφ; cr. Dindorf; γέρραι Ναξιακαί Kaibel ‖ 18 οἳ καὶ Cφ ‖ 20 exsp. τὰ Γέρρα καλούμενα ‖ 21 οἷς lacobitz; ὧ codd.

πυρός] αἰτίαι πυρὸς ἐξανάψεως καὶ σβέσεως. ~ E 35
τοιούτων ἀρετῆς κτλ.] σημείωσαι. ~ E 36
παρεῖναι καὶ ὁρᾶν κτλ.] ὡραῖον. ~ Γ 37
σφαίρας] περὶ τῶν Λακεδαίμοσιν ἀγώνων. ~ E 38

38. *Μένιππος ἢ Νεκυομαντεία.*

εἰ μὴ ἐγὼ παραβλέπω κτλ.] σημείωσαι. ~ V 1
μὴ πρότερον εἴπῃς κτλ.] σημείωσαι. ἐντεῦθεν ἡ προ- 2
ἐκθεσις. ~ Γ
ὑπουργητέον κτλ.] ὡραῖον. ~ Δ 3
ἐς αὐτό φασι τὸ πῦρ κτλ.] ὡραῖον. ~ Δ 4
ὁ μέν — ἥδεσθαι] Ἐπίκουρος. ~ BΩΔ
ὁ δέ τις — πονεῖν] Διογένης. ~ BΩΔ
ἄλλος καταφρονεῖν χρημάτων] Κράτης. ~ BΩΔ
ὁ δέ τις κτλ.] Ἀριστοτέλης. ~ BΩ
περὶ μὲν γὰρ τοῦ κόσμου] Πλάτων. ~ BΔ
ἀτόμους] Δημόκριτος. ~ BΔ
ἀτεχνῶς*] ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ, ὅ ἐστιν ἐνὶ λόγῳ, ἀληθῶς· τέχνη γὰρ ὁ δόλος παρὰ Ἀττικοῖς, τὸ δὲ ἄνευ δόλου ἀληθές ἐστιν. ὁ γὰρ τόνος διαστέλλει τὴν σημασίαν, τήν τε τῆς τέχνης στέρησιν καὶ τὸ ἀδιάφορον τῆς χρήσεως. ἀτεχνῶς οἱονεὶ ἀτενῶς μετὰ περισσοῦ τοῦ ῡ. — ἄλλως. ἁπλῶς, ἄνευ τέχνης, ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων ἀλλὰ δυνάμει, ἢ καθάπαξ ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι ἢ ποιῇ, οὐκέτι περισπωμένως ἀλλὰ βαρυτόνως· ἀτέχνως ποιεῖς, ἀτέχνως λέγεις. ~ ΔMUΩ
τὸ σεμνὸν διττῶς λέγεται, καὶ ἐπὶ τοῦ ὑπερηφάνου καὶ 6
ἐπὶ τοῦ σεμνῶς τὰ πράγματα ποιοῦντος. ~ ΔUΩ
ὡς δὴ τί τοῦτο] ὅρα τὴν σύνταξιν. ~ φ 8

19 fort. δὲ pro γὰρ; at cf. sch. Arist. Plut. 109 ‖ 27 cf. sch. Hesiod. 1

13 ⌊Ἀρ⌋ίστιππο⌈ς: οὗτος φι⌈λόσοφος Κυ⌈ρήνης⌋ ὀρ⌉μώμενος ⌈δεινὸς τὰ περὶ⌉ γαστέρα τ⌈ε⌊ καὶ⌋ τοὺς μαγείρους⌉ σοφιστὴς ⌈παρῆν ⌊ἀε⌋ὶ Δι⌉ονυσίῳ τῷ ⌈πρεσβυτέρῳ κατὰ⌉ ⌊Σι⌋μελίαν ⌈αὔξων αὐτῷ⌉ τὴν ⌊τρ⌋υφὴν ⌈καὶ αἰσχρότατα⌉ παρασιτῶν⌈ν ⌊καὶ⌋ κολακεύων⌉ πέρα τοῦ μ⌈ετρίου⌉. ~ ⌊B⌋⌈V⌉ΦΩΔ

14 μαστίγων κτλ.] ὡραῖον. ~ Γ

ἡμιτέλεια*] ⌈⌊τὸ ἥ⌋μισυ⌉ τῆς τιμωρίας. ⌊⌈ὡς ἐπὶ δα⌉σμοῦ δὲ τοῦτο ⌊⌈προ⌋ενέγκα⌉ς διέχεεν ⌈⌊ὑπε⌋ρβαλλούσῃ τῇ ⌊ἡ⌉δ⌋ο⌈νῇ τὴν ἀκοήν⌉. ~ ⌊B⌋⌈V⌉ΦΩΔ

15 ὁμοίως φοβερόν τι κτλ.] σημείωσαι. ὡραῖον. ~ Γ

16 τοιγάρτοι ἐκεῖνα — διαπομπεῦσαι ὡς ἐτάχθησαν] ὡραῖον διόλου τὸ χωρίον καὶ τῆς ματαιότητος ἡμῶν ἐκκαλυπτικόν. ~ BΔ

ἐμβατῶν*] ἐμβάται κωμικὰ ὑποδήματα μεγάλα τε καὶ τὰς κρηπῖδας ὑψηλὰς ἐξειργασμένα τοῦ πρὸς μεῖζον ὕψος τὸν χρώμενον ἄγειν. ~ BCVΦΩΔ

17 ἐπειδὰν* — ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον] τάχα τὸν Αἰακὸν ἐπέστησαν Ἕλληνες ταῦτα δικάζειν τοῖς νεκροῖς τὸ τοῦ ὀνόματος ἔτυμον παραλαβόντες εἰς συνηγορίαν· βούλονται γὰρ νῦν παρὰ τὸ αἰάζειν τὸν Αἰακὸν ὠνομάσθαι, ὃ συμβαῖνον ἐπὶ τοῖς ἀποιχομένοις τῷ τάφῳ παρευθὺς αὐτοὺς παραδίδωσιν. ~ VΦBΩΔ

οὐ πλέον ποδός: καὶ γὰρ ἐπὶ τῶν πυρὶ θαπτομένων μόγις ποδιαῖον τόπον ἡ σποδὸς ἐπίσχει. ~ BVΦΩΔ

ταριχοπωλοῦντας* κτλ.] εἰς τοὺς τὰ σώματα ταριχεύοντας αἰνίττεται καὶ παίζει τοὺς τὰ ἐπιγράμματα ἔχοντας ἐν τοῖς τάφοις. ~ VΦBΩΔ

Φίλιππον — ὑποδημάτων] ἴσως ἐπὶ τῷ τάφῳ Φιλίππου σκυτεῖον ὕστερον συνέστη, καὶ τοῦτο παίζει. τὰ δὲ τῶν

---

2. 3 ὢν σοφιστὴς Δ ‖ 3 πρεσβῦ B; πρεσβύτη cet. ‖ 8 προσενέγκας Δ et (σ servat.) B; προενέγκας cet. | τῇ om. UΔ ‖ 14 cf. sch. Iov. trag. 41 ‖ 21 ὃ pro ὃ B | συμβαῖνον VΔ; συμβαίνων B | τῶν ἀποιχομένων Ω

ἄλλων βασιλέων ὀστᾶ ὑπὸ τῶν τυμβωρυχούντων παρὰ τὰς τριόδους ἐσκυβαλευμένα τοῦτο διαγελᾷ. ~ BVφΩΔ

οὐ γὰρ οἶδ'* ὅπως] καινοπρεπές· τὸ γὰρ καθημαξευ- 19
μένον 'οὐκ οἶδα ⟨γὰρ⟩ ὅπως'. ~ B

ἐπεχειροτόνησε κτλ.] σημείωσαι. πάνυ ὡραῖον. ~ V 20

πρός* τι χωρίον τοῦ ἄλλου ζοφερώτερον κτλ.] εἰ τοῦ 22
ἄλλου ζοφερώτερον, ὀλέθριε, πῶς βλέπων τῷ δακτύλῳ ἐδείκνυες; καὶ τὸ μὲν παιζόμενον τοῦτο. αἰνίττεται δὲ οἶμαι τῇ παιδιᾷ, ὡς τὰ ἐν Τροφωνίου ἀφανέστερά τε καὶ ἀσαφέστερα τῶν ἐν τοῖς ἄλλοις μαντειῶν χρησμῳδουμένων. ~ VφBΩΔ

39. *Λούκιος ἢ Ὄνος.*

Ὅτι ἀσελγείας ὁ λόγος μεστός, οὐ γέγραπταί μοι. ~ φ

ταῦτα τῷ τραύματι κτλ.] ὡραῖον. ~ Γ 22

κἀγὼ τότε κτλ.] ὡραῖον. ~ Γ 23

ἡ δὲ προελθοῦσα κτλ.] σημείωσαι. ~ Γ

ἑάλωκας; ἀλλ' ὅτε κτλ.] ὡραῖον. ~ Γ 24

νεκρῷ ὄνῳ συνοικεῖν κτλ.] ὡραῖον. ~ Γ 25

40. *Περὶ πένθους.*

Δραματικὸς ὁ λόγος οὑτοσὶ ὑποκρινόμενος τοὺς πενθοῦντας καὶ καταμεμφόμενος εὐφυῶς αὐτῶν. ~ U

τὰ νεκρὰ* τῶν ὀρνέων] τοῦτο εἶπεν, ἐπεὶ κατὰ *Πλάτωνα* 3
[Phaedr. 245 C] ⌊ψυχ⌋ὴ πᾶσα ἀθάνατος, ὡς καὶ τῶν ⌊ὀρνέ⌋ων ἀθανάτων ὄντων καὶ ⌊τα⌋ὐτὸ τοῖς ἀνθρώποις μετὰ θάνατον ⌊πα⌋σχόντων. παίζει δὲ μετὰ τῶν ⌊ἄλλ⌋ων καὶ τοῦτο καλῶς. ~ ⌊B⌋

---

4 *οὐκ οἶδ' ὅπως* B; correxi ex sch. Cal. non cred. 21. Catapl. 14 ‖ 7 *τὸ χωρίον* post *ζοφερώτερον* add. VΔ ‖ 23. 24 *ὀρνέων* non certum; legeram enim ι ω ν in B; *ἀλόγων* A. Eberhard

5 ἀμέλει διηγήσαντο κτλ.] σημείωσαι. ~ Γ

10 οὕτω γὰρ ἂν οὐ κτλ.] σημείωσαι. ~ Γ

14 κόσμον συγκατέφλεξαν — ὡς χρησομένοις*] οὐχ ὡς χρησομένοις, μάταιε, ἀλλ' ὡς μὴ βουλόμενοι ἑτέρους χρήσασθαι τοῖς ἐκείνων. ~ B

19 ἡ πρὸς τὸν αὐλὸν αὕτη στερνοτυπία] αὐληταὶ γὰρ συνε⌊κάλουν⌋ ἐπὶ τὰ πένθη τῶν ἀ⌊ποιχομένων⌋, ὡς δῆλον καὶ ἀπὸ τοῦ Θ⌊είου⌋ εὐαγγελίου [Matth. 9, 23]. ~ ⌊B⌋CVφΩ

ἀσφόδελος] ὅτι ἡ ἐλελίσφακος λέγεται· βοτάνη γάρ ἐστιν. ~ C

41. Ῥητόρων διδάσκαλος.

Τινές φασιν ὡς εἰς Πολυδεύκη τὸν ὀνοματολόγον ἀποτεινόμενον Λουκιανὸν τοῦτον γράψαι τὸν λόγον τέχνην μὲν οὐδ' ἥντινα λόγων παραδιδόντα, σωρὸν δὲ λέξεων ἀδιάκριτον ὑφιστάντα. καὶ ἴσως οὐκ ἀπὸ σκοποῦ ταῦτα τοῖς φήσασιν εἴρηται, ἐπεὶ καὶ σύγχρονοι ἄμφω, Λουκιανὸς καὶ Πολυδεύκης· ἐπὶ γὰρ Μάρκου τοῦ αὐτοκράτορος. ~ VMSΩ

—] τινὲς — ὑφιστάντα, ὥσπερ ἐν λέξεσιν ἀλλ' οὐκ ἐν διανοίᾳ τῆς ῥητορικῆς τὸ κράτος ἐχούσης· καὶ ἴσως ἀληθές, ἐπεὶ καὶ σύγχρονοι ἦσαν ἐπὶ Μάρκου τοῦ αὐτοκράτορος. ὁ γὰρ Πολυδεύκης ἐπαγωγότερος ἦν τοῦ αὐχμηροῦ καὶ κατακόρου διαναπαύων τὸν λόγον· ἐχρῆτο γὰρ διηγήμασιν, οὐ μέντοι καὶ τέχνην παρεδίδου λόγου, ὅπως ἡ διή-

---

4 ἑταίρους B ‖ 6 αὐλιστὰς B ‖ 10 sch. lemmate caret; quamquam in C priori scholio subnexum est, dubito, num ad ἀσφόδελος referendum sit ‖ 12 cf. sch. p. 180, 4 | M et Laur. 32, 13 sic: ἔοικε πρὸς π. τ. ὀν. ἀποτείνεσθαι τὸν λόγον ἐνταῦθα — ὑφιστάντα ὥσπερ (cf. lin. 18. 19) — ἐχούσης, ἐπεὶ καὶ σύγχρονος οὗτος ἐκείνου· καὶ ἄμφω γὰρ ἐπὶ μ. τ. αὐτ. ‖ 14 λόγου M Vat. 86; τῶν λόγων SΩ; ἢ λόγον Hemsterhuis ‖ 14. 15 ἀδιακρίτων συνιστάντα Hemsterhuis ‖ 15 ταῦτα om. SΩ ‖ 17 γὰρ om. SΩ ‖ 18. 19 ἐν τῇ διανοίᾳ M Laur. 32, 13 ‖ 21 fort. δὲ pro γὰρ ‖ 22 καὶ κατακόρου suspect.; fort. κατακόρως

γησις διαχέῃ τὴν αἴσθησιν καὶ τὸ τῶν λέξεων καινότερον, ὡς ἐν ταύταις μόναις τοῦ παντὸς ἔργου κειμένου τοῖς λόγοις. ~ Vat. 86

σοφιστής] τὸ τοῦ σοφιστοῦ ὄνομα τριχῶς παρὰ τοῖς παλαιοῖς διανενόηται. πρῶτον σοφὸν καλοῦσιν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ φρόνιμον καὶ τὸ καλόν· ὅθεν καὶ Πλάτων φιλόσοφον καλεῖ τὸ πρῶτον αἴτιον καὶ ἄνθρωπος ὁ μετιὼν τὴν φιλοσοφίαν ἐκ τούτου παρωνόμασται, καθὰ καὶ αὐτὸς μιμεῖται θεὸν κατὰ τὸ δυνατόν. καὶ πάλιν σοφιστὴν καλοῦσιν αὐτὸν τὸν ῥήτορα τὸν διδάσκοντα ῥητορικοὺς λόγους, περὶ οὗ διεξέρχεται νῦν. σοφιστὴν δὲ καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν. ~ MSΩ Vind. 114 1

Σιδωνίου ἐμπόρου: οὗτος ἐπηγγέλλετο Ἀλεξάνδρῳ ἐπιτομωτάτην ὁδὸν δεῖξαι ἐκ Περσῶν εἰς Αἴγυπτον. ~ B 5

Ἀμαλθείας* κέρας] τὸν Δία αἶγά φασι θρέψαι Ἀμαλθείαν λεγομένην, ταύτης δὲ τὸ δεξιὸν κέρας βρύειν τῆς παγκαρπίας ἤτοι πᾶν αἰσθητὸν ἀγαθὸν ἄφθονον ἔχειν. ἀπὸ τούτου πάντα τὰ εὐδαιμόνως διάγοντα τὸ τῆς Ἀμαλθείας ἔχειν κέρας φασίν. ~ BK Vat. 86 6

σοὶ δὲ ἄσπορα καὶ ἀνήροτα πάντα φυέσθω καθάπερ ἐπὶ τοῦ Κρόνου] ὡς Ἡσίοδός φησι [Op. 118]. ἐφ' οὗ Κρόνου τὸ χρυσοῦν καὶ πρῶτον γένος ἦν, καὶ [ ] τὸ ἀργυροῦν καὶ χαλκοῦν, μετ' ἐκεῖνο τὸ σιδηροῦν. ~ B 8

τῇ ῥοπῇ] τὴν βάσιν. ~ V 9

Ὀλυμπιάδας] πόλις ἦν ἐν Ἤλιδι Ὀλυμπία καλουμένη ἱερὸν ἔχουσα ἐπιφανέστατον Ὀλυμπίου Διός. ἐν ταύτῃ ἀγὼν ἐπετελεῖτο παγκόσμιος τὰ Ὀλύμπια κατὰ πέντε ἔτη συγκροτούμενος· διὸ καὶ πενταετηρικὸς ἐκαλεῖτο· ὃς καὶ

---

1 fort. κατὰ pro καὶ ‖ 7 apud Platonem non invenitur ‖ 7 ὅθεν καὶ ὁ ἄνθ. Vind. 114 ‖ 11 δὲ om. M ‖ 16 βρύει Vat. 86 ‖ 16. 17 τὴν παγκαρπίαν K ‖ 17 ἀφθόνως edit. | ἔχει Vat. 86 ‖ 18 πάντας τοὺς εὐδ. διάγοντας K ‖ 22 καὶ (alt.) certum videtur, tum fort. suppl. ἐπὶ Διὸς vel μετ' αὐτὸ ‖ 23 fort. καὶ τὸ χ. ‖ 24 τῇ βάσει edit. | in textu τὴν* βάσιν, in mg. scholion τῇ ῥοπῇ, O

ἀνεγράφετο τοῖς δημοσίοις ἀεὶ εἰς δήλωσιν τῶν ἐνιαυτῶν καὶ ἦν τοῦτο ἀκριβὴς τῶν χρόνων ἐπίγνωσις· τεσσάρων γὰρ ἐτῶν μεταξὺ διαρρεόντων τῷ πέμπτῳ συνετελεῖτο. καὶ διήρκεσεν ἀρξάμενος ἀπὸ τῶν καθ' Ἑβραίους κριτῶν μέχρι τοῦ μικροῦ Θεοδοσίου· ἐμπρησθέντος γὰρ τοῦ ἐν Ὀλυμπίᾳ ναοῦ ἐξέλιπε καὶ ἡ τῶν Ἠλείων πανήγυρις. ~

M Laur. 32, 13

Ὀλυμπι⌊άδας: ἐπὶ τῆς Ἠλιακῆς μοίρας ⌊Πελοπ⌋ννήσου πόλις ἦν Ὀλυμπία ⌊καλουμένη⌋, ἐν ᾗ ἱερὸν ἐπιφανέστατον ⌊παρ' Ἕλ⌋ησιν Ὀλυμπίου Διός· ἐν ταύ⌊τῃ ἀγ⌋ὼν ἐτελεῖτο παγκόσμιον ἔχων ⌊συναγω⌋γὴν κατὰ πέντε ἔτη συγκροτού⌊μενος· διὸ⌋ καὶ πενταετηρικὸς ἐκαλεῖτο. ⌊ἀνεγρ⌋άφετο οὖν ἐν τοῖς δημοσίοις καὶ ⌊τοῖς⌋ χρονογραφοῦσι· καὶ δὴ καὶ τοῖς ⌊παλαιοῖς εἰς δήλωσιν χρόνων ⌊ἦν, Ὀλ⌋υμπιάδος ποσταία· ὡς φέ⌊ρε ⌊τόδε⌋ ἐπράχθη τῇ ρ΄ Ὀλυμπιάδι ⌊ ⌋ ποετ⌊ ⌋ ἤ τινι τοιαύτῃ'. καὶ ἦν τοῦτο ⌊ἀκρι⌋βὴς χρόνων ἐπίγνωσις, ὥσπερ καὶ ⌊παρ'⌋ Ἀθηναίοις μὲν ἡ τῶν Ἀθήνησιν ⌊ἀρχόν⌋των ἐνιαυσία προστασία, καθ' ἣν ἀναγράφεται ⌊ἐπὶ ἄρχοντος Ἀθήνησι⌋ τοῦ ⌊δεῖνα⌋ τόδε ἐπράχθη', παρὰ δὲ ⌊Ρω⌋μαίοις ἡ τῶν ὑπάτων ἐπέτειος ἐπισημ⌊είωσι⌋ς. ἄρχεται δὲ ἡ τῶν Ὀλυμπιάδων ⌊ἀναγρ⌋αφὴ ἀπὸ Ἰφίτου τοῦ ἀνανεωσα⌊μένου τὸν⌋ ἀγῶνα τὸν Ὀλυμπίασιν, ἀφ' Ἡ⌊ρακλ⌋έους δὲ ἀρξαμένου τοῦ ἀγῶνος, ὡς Πίν⌊δαρός

---

8 scholion restituere conatus est Alfr. Eberhard (Philogelos, Hieroclis et Philagrii facetiae, p. 75), sed pessima Iacobitzii transscriptione usus est | ἡλιάκης B, ut vid. (cf. sch. Iov. trag. 25); ceterum cf. scholion quod praecedit ‖ 13 fort. καὶ παρὰ τοῖς ‖ 14 πολλοῖς Eberhard ‖ 14. 15 ἦν ἡ τῆς ὁλ. πενταετ⌊τία Eberhard | ὁλυμπιάδ^{ο} ποσταία B; num ποσταίᾳ? ‖ 16 κο $\overset{τη}{ε}$, tum fort. ι (si omnino littera est), ἤ τινι τοιαύ B ‖ 15. 16 ὡς ἔφασαν τοῦτο ἐπράχθη τῇ ρ΄ ὁλ. τῷ.. ἔτει ἢ Eberhard ‖ 19 ἀρχο$\overset{υ}{ν}$τ B; ἀρχόντων Iacobitz ‖ 19 Ἀθήνησι τῶνδε τόδε ἐπ. Eberhard | δεῖνα Bücheler dubitanter proposuit ‖ 20 ἐπισημείωσις Bücheler; legeram ἐπιση, tum post V vel VI litterarum lacunam ō vel ὸ cognoscere mihi videbar ‖ 23 τοῦ pro δὲ Eberhard

φησιν [Ol. 2, 5] ‘ἤτοι Ὀλύμπια μὲν στάσεν Ἡ⌊ρακλέης⌋’. ἀμεληθέντος δὲ μέχρις Ἰ⌊φίτου⌋, εἶτα Ἰφίτου μὲν ἀνανεωσαμένου ⌊τὸν ἀγῶ⌋να, νικηφόρου δὲ μηδενὸς ⌊ἀναγ⌋ραφέντος διέμενεν ἄσημος ⌊μακρὸν χρόν⌋ον. ὅθεν, ὡς Καλλίμαχος [fr. 433 Schneider] ἱστορεῖ, ⌊τρεῖ⌋ς καὶ δέκα Ὀλυμπιάδας ἀπο⌊ ⌋ τῇ τεσσαρεσκαιδεκάτῃ Ὀ⌊λυμ⌋πιάδι Κόροιβόν τινα νικῆσαι στά⌊διον⌋, ἀπὸ τούτου ⌊δὲ⌋ ἀναγραφῆς τε τὰς Ὀλυμ⌊πιά⌋δας τυχεῖν καὶ πρώτην ταύτην ταχθῆναι. ⌊ἄλλοι⌋ δὲ λέγουσιν ἀφ’ Ἡρακλέους τοῦ Ἀλ⌊κμήνης⌋ τοῦ θέντος τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνα ⌊τὴν⌋ πρώτην ἀριθμούμενοι Ὀλυμπιάδας ⌊γε⌋νέσθαι υνθ΄. ἔφαμεν δὲ πεν⌊ταετη⌋ρικὸν εἶναι

---

1 ἤτοι Πίσα μὲν Διός, Ὀλυμπιάδα δ’ ἔστασεν Ἡρ. Pind.; cf. sch. Icarom. 24. scholion Arethae in Tatian. p. 32, 14 (ed. Schwartz, Gebhardt) ‖ 2 cf. sch. in Plat. Reip. V 465 D: μετὰ Πίσον γὰρ καὶ Πέλοπα καὶ Ἡρακλέα τοὺς πρώτους διαθεμένους αὐτοὺς ἠμελήθησαν ἐπὶ ὀκτὼ καὶ εἴκοσιν Ὀλυμπιάδας. Ἴφιτος δὲ καὶ Λυκοῦργος — πέμπουσι περὶ τοῦ ἀγῶνος ἐρωτῶντες εἰς Δελφούς· καὶ ὁ Ἀπόλλων χρᾷ τοῦτον ἀνανεοῦν κτλ.; exscribo etiam Syncelli Chronogr. I 368 sq. Bonn.: τινὲς — ἀπὸ τῆς ὑπὸ Ἡρακλέους τοῦ Ἀλκμήνης τοῦ ἀγῶνος θέσεως τὸ πρῶτον ἤρχθαι τὸ τῆς Ὀλυμπιακῆς ἀθλήσεως εἶδός φασι πρὸ χ΄ ἐτῶν τῆσδε τῆς πρώτης ὀλυμπιάδος. ἄλλοι δὲ ὑπὸ Δεθλίου τεθῆναι τὸν ἀγῶνα — Πέλοψ — ἀριθμοῦσί τε ἀπὸ τοῦ Ἀλκμήνης Ἡρακλέους ἕως τοῦδε τοῦ χρόνου γενεὰς ι΄, ἄλλοι δὲ τρεῖς τελείας φασὶν ὀλυμπιάδας ἐπὶ Ἴφιτον τὸν ἀνανεωσάμενον τὸν ἀγῶνα. — τότε δὲ ἀγὼν σταδίου μόνον ἦν καὶ οὐδεὶς ἀνεγράφετο νικηφόρος ἀμελουντων τῶν τηνικάδε. ὀγδόῃ δὲ καὶ εἰκάδι (εἰκοστῇ Scaliger) ὀλυμπιάδι Κόροιβος Ἠλεῖος ἀνεγράφη στάδιον νικήσας καὶ ἡ κατ’ αὐτὸν ὀλυμπιὰς πρώτη ἐτάχθη, ἀφ’ ἧς Ἕλληνες ἀριθμεῖν τι δοκοῦσιν ἀκριβῶς χρονικόν. ταῦτα Ἀριστόδημος ἱστορεῖ καὶ συνῳδὰ τούτῳ Πολύβιος. Καλλίμαχος δὲ κτλ. ‖ 4 Euseb. Chron. I 39: Καλλίμαχος δέκα τρεῖς Ὀλυμπιάδας ἀπὸ Ἰφίτου παρεῖσθαί φησι μὴ ἀναγραφείσας, τῆς δὲ τεσσαρεσκαιδεκάτης Κόροιβον νικῆσαι ‖ 6 α^{π}, post lacunam cognoscere mihi videbar ‘ (i. e. ης, ις, vix αι), tum gravis interpunctio, B; ἀπὸ τούτου Eberhard; de ἀπο⌊λειφθῆν⌋αι cogitat Bücheler, sed ipse dubitat ‖ 7 δὲ scripsi; nam, ni fallor, I litt. scripta erat ‖ 10 ἀριθμουμίς B (id potius ἀριθμουμένην videtur esse) ‖ 10. 11 ὀλυμπιάδ΄ B; vix Ὀλυμπιάδα ‖ 11 fort. ⌊τὰς πάσας γε⌋νέσθαι (sed ν non certo legitur) | ῡν̄Θ in codice certo legitur

τὸν ἀγῶνα· τεσσάρων γὰρ ⌊ἐτῶν με⌋ταξὺ συντελουμένων τῷ πέμπτῳ ⌊ὁ ἀγὼν ἐ⌋πετελεῖτο. ἀρξάμενος δὲ ἀπὸ τῆς ⌊ἐποχῆς⌋ καθ' Ἕβραίους ἐπ' Ἰάειρον ἐνά⌊ ⌋ διήρκεσε μέχρι τοῦ μικροῦ ⌊Θεοδοσίου⌋, ὃς Ἀρκαδίου υἱὸς ἦν, τῶν χρό⌊νων. τοῦ δὲ⌋ ναοῦ τοῦ Ὀλυμπίου Διὸς ἐμπρη⌊σθέν- 5
τος ἐξ⌋έλιπε καὶ ἡ τῶν Ἠλείων πανήγυρις ⌊καὶ ὁ ἀγὼ⌋ν ὁ Ὀλυμπικός. ~ B

10 σὺ* δὲ μήτε πείθεσθαι κτλ.] σύνηθες τοῦτο καὶ ποιηταῖς καὶ λογογράφοις ἀπαρεμφάτοις χρῆσθαι ἀντὶ προστακτικῶν, ὡς καὶ νῦν οὗτος· ἀντὶ γὰρ τοῦ 'μὴ πείθου' εἶπε πείθεσθαι. τοῦτο δὲ οὐχ ὡς ἔτυχε γίνεται, ἀλλ' ἡνίκα μετὰ ἀπαγορεύσεως ἡ ἔννοια πρόεισιν, οἷον 'ἀλλά σε κελεύω μὴ τοῦτο ποιεῖν' ἀντὶ τοῦ 'μὴ τοῦτο ποίει', καὶ ὡς τοῦ θεολόγου Γρηγορίου 'ἢ μὴ διδάσκειν ἢ διδάσκειν τῷ τρόπῳ'· ἀντὶ γὰρ προστακτικῶν τὰ ἀπαρέμφατα κεῖται. ~ VCOSΩ

11 Ἀγάθωνα*] Ἀγάθων τραγῳδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος. ~ BVOSΩ. Addit B: Ἀριστοφάνης Γηρυτάδῃ [fr. 169. C. A. F. I 432 K.]. ἦν δὲ Τισαμενοῦ υἱὸς Ἀθηναίου, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ, μεθ' οὗ πρὸς Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας ὁ νεώτερος [Script. rer. Alex. Magni p. 40 Müller]. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος, ὡς Πλάτων ὁ φιλόσοφος Συμποσίῳ [198 C]. ~

14 μέλημα*] ⌊ἀντὶ τοῦ φρο⌋ντισμα, ⌊οἱονεὶ ὑπ⌋ὲρ οὗ πολλή ⌊μοι φρον⌋τίς ἐστι. ~ ⌊B⌋VSΩ

---

1 συντελουμένων B (cf. sch. in Plat. Reip. V 465 D ἄγεται δὲ διὰ πέντε ἐτῶν μέσον τεσσάρων συντελουμένων); διαρρεόντων supra p. 176, 3 ‖ 2 ἐπετελεῖτο, litteram π certam duco (dimidia pars ε exstat) ‖ 3 "est Ἰαειρ iudex, Syncell. I 309 cet. — ἀπὸ τῆς ⌊ἐποχῆς⌋ καθ' Ἑ. ἐπ' Ἰάειρον ἐν ἀ⌊ρχῇ κριτοῦ⌋??" Bücheler ‖ 6 ἡλίων B ‖ 10 ὡς — οὗτος om. C ‖ 14 fort. τὸ τοῦ ‖ 15 προστακτικῶν S; προστακτικοῦ cet. ‖ 18 Ἀριστοφάνει τῷ Γηρ. schol. in Plat. Conv. 172 A ‖ 19. 20 Τισ. τοῦ Ἀθ. υἱός sch. Plat. ‖ 21 ὁ sch. Plat.; τε B ‖ 23 ὡς κτλ. om. sch. Plat. ‖ 25. 26 μοι πολλὴ V

ἡ λευκὴ ἕρια*] εἶδος ἐνδύματος λεπτοῦ. ∼ M Laur. 32, 13 **15**
πολυσχιδὲς τὸ νῦν στρικτόν. ἐμβάδες δὲ τὰ ὑφ' ἡμῶν καλίγια, καὶ δῆλον ἀφ' ὧν πίλοις αὐτὴν ἐπιτρέπειν τοῖς λευκοῖς, ὃ οὐκ ἂν ἐπὶ ἄλλου γένοιτ' ἂν ὑποδήματος. ∼ BCVSΩ

ὁ λῆρος κτλ.] δριμέως ἄγαν ὁ βωμολόχος καὶ γόης τῷ **17**
λόγῳ καθίκετο τῶν θαυμασίων ἀνδρῶν εἰς τὸ ἐναντίον τὴν ἑκάστου λοιδορησάμενος ἀρετήν· τοῦ μὲν γὰρ τὸ ἐπιμελὲς ἄγαν καὶ ὕπτιον λῆρον ἐκάλεσε, τοῦ δὲ τὸ γοργὸν καὶ πυκνὸν εἰς τὸ ἄχαρι ἀπέσκωψε, τοῦ δὲ τὸ ἄφετόν τε καὶ ἐλευθέριον καὶ κατὰ πᾶσαν ἰδέαν εὐμεταχείριστον εἰς ψυχρολογίαν διέβαλεν. ∼ BVSΩ

Μαραθὼν* κτλ.] ταῦτα πάντα παρ' Ἡροδότῳ [6, 111 sq.] **18**
ἱστόρηται, ἡ ἐν Μαραθῶνι τῶν Περσῶν μάχη, Περσῶν μὲν Δάτιδος ἡγουμένου, Ἀθηναίων δὲ Μιλτιάδου, ἐν ᾗ ὁ Καλλίμαχος πολεμῶν* καὶ τὴν κεφαλὴν ἀφαιρεθεὶς ἐπὶ πολὺ νεκρὸς εἱστήκει, ὑπὸ τῆς περὶ τὸν πόλεμον προθυμίας οὐδὲ τί πάθοι αἰσθόμενος. ∼ VBCSΩ

Ἄθως κτλ.] ἡ Ἑλλησπόντου ὑπὸ Ξέρξου γεφύρωσις καὶ ἡ τοῦ Ἄθω διόρυξις, ἵν' ἡ θάλασσα εἰσρυεῖσα πλωτὸν ἀπεργάσαιτο τὸν ἰσθμὸν τοῖς Ξέρξου σκάφεσιν, καὶ ὅσα ἄλλα ἱστόρηται Ἡροδότῳ. ∼ BCVSΩ

ὁ μηρός*] οὐκ ᾤμην τουτὶ τὸ μιαρὸν καὶ κατάπτυστον **19**
ἔργον τὸ τὸν μηρὸν πατάσσειν ἀρχαῖον εἶναι. ∼ VSΩ

Ἀδράστεια*] δαίμων ἡ Ἀδράστεια παρ' Ἕλλησι τοῖς με- **24**
γάλα καυχωμένοις ἐπιφυομένη. ἐπεὶ οὖν καυχώμενος εἰσά-

2—22 haec folio amisso in B non iam inveniuntur; in his igitur auctoritatem unius Iacobitzii, cuius aetate illud folium nondum perierat, sequi debemus ‖ 3 καλλίστια C | ἐπιτρέπειν CV ‖ 10 ἔσκωψε SΩ ‖ 13 C inc. ὅτι ἡ ἐν μαρ. τῶν περσῶν μ. ὡς ἡρόδοτος ἱστορεῖ περσῶν μὲν δάτιν εἶχεν ἄρχοντα καὶ προηγούμενον τὸ στρατόπεδον, ἀθ. δὲ μιλτιάδην. ἐν ἡι κτλ. ‖ 16 num πολέμαρχος ὤν? ‖ 19 ἡ δὲ ἑλλ. C (sch. cum priore coniunctum) ‖ 21 καὶ — 22 Ἡρ. om. C; ἱστόρ. Ἡρ. om. V ‖ 25 cf. sch. Conv. 23. Dial. mer. VI 2 ‖ 26 ἐπεὶ — p. 180, 2 ἐπεβ. om. C

γεται ὁ μιαρὸς οὗτος διδάσκαλος, ὥσπερ ἐκμελισσόμενος τὴν δαίμονα ἀνευφήμησε νῦν οὕτως αὐτὴν ἤτοι ἐπεβοήσατο. ~ BCVSUΩ

*Λήδας** κτλ.] ἐντεῦθεν ἀναντίρρητον ἤδη, ὡς Πολυδεύκη διασύρει ὁ παρὼν λόγος, εἴ γε Κάστορος ἀδελφὸς Πολυδεύκης ὁ Λήδας, ᾧ οὗτος ὁμώνυμος ὁ διασυρόμενος ῥητόρων διδάσκαλος. ~ BVSΩ

νὴ τὴν πάνδημον*] τὴν Ἀφροδίτην φησίν. ὄμνυσι δὲ ταύτην νῦν ἢ διὰ τὴν προηγησαμένην αἰσχρότητα τῆς γραὸς ἢ διὰ τὸ ἀναιδές· ἐπεὶ καὶ τοῦτο μετὰ τῶν ἄλλων κακῶν ἔχουσιν αἱ πόρναι, ὃ μιμεῖσθαι καὶ αὐτὸς ὑποβάλλεται καὶ τοὺς ἄλλους διδάσκει. ~ BVSUΩ

42. Ἀλέξανδρος.

Κέλσε] οὗτός ἐστι Κέλσος ὁ τὴν καθ' ἡμῶν μακρὰν γράψας φλυαρίαν ἐν ὅλοις ὀκτὼ βιβλίοις, ᾧ πρὸς ἰσάριθμον ἀντεξαγόμενος πρόθεσιν ὁ σπουδαιότατος ἀντεῖπεν Ὠριγένης μεστοὺς ἁπάσης σοφίας καὶ εὐσεβείας ἐξυφανάμενος λόγους καὶ λῆρον ἀποφήνας τὸ θαυμαστὸν αὐτοῦ σπούδασμα. ~ BVφΩ

μεγίστῳ θεάτρῳ κτλ.] σημείωσαι. ~ V

Ἀρριανὸς* — Ἐπικτήτου μαθητής] ὅτι Ἀρριανὸς κατὰ τὸν Σεβαστὸν ἦν, ἐπεὶ καὶ ὁ Ἐπίκτητος ὁ Στωικός, οὗ τὰ Ἠθικὰ φέρεται, κατὰ τοῦτον ἦν. ~ VBφΩ

Μινύαν*] πότερον τὸν Ὀρχομένιον Μινύαν, οὗ καὶ Ὅμηρος [*B* 511] μνημονεύει Ὀρχομενὸν φάσκων Μινύιον, ἢ τὸν Βοιώτιον; ~ VBφ

καὶ ἡ γνώμη κτλ.] σημείωσαι. ~ V

ὑπὲρ τοὺς Κέρκωπας: οὗτοι ἐν Βοιωτίᾳ διέτριβον Οἰχα-

---

2 ἢ τὸ B ‖ 4 cf. sch. p. 174, 12 ‖ 14 γράψας ante βιβλίοις V ‖ 15 ὅλ- B; om. V ‖ 23 φέρονται V ‖ 28 sq. ὅτι σίλλ. κ. τρίβ. οἰχ. ὄντ. γ. ἐπ. καὶ ἀργ. ἐτύγχανον. ἀπ' C

λιεῖς ὄντες γένος Σίλλος καὶ Τρι⌊βαλὸς ὀνομαζόμενοι, ἐπίορκοι καὶ ἀργοί, ὡς Κρατῖνος Ἀρχιλόχοις [fr. 12. C. A. F. I 15 K.] *καὶ Διότιμος*

"*Σίλλος τε Τριβαλός τε δύω βαρυδαίμονες ἄνδρες*".

ἀπ' αὐτῶν δὲ καὶ τὸ παροιμιαζόμενον 'Κερκώπων ἀγορά'. ἀπελιθώθησαν ⌊δ'⌋ οὗτοι, ὡς Φερεκύδης φησί. Ξεναγόρας δὲ εἰς πιθήκους διὰ κακοήθειαν μεταβαλεῖν φησιν ἐν τῷ Περὶ νήσων [fr. 13. F. H. G. IV p. 528 Müller]. *ὁ δὲ Εὐρύβατος ὡς πονηρὸς καὶ πανοῦργος, πρὸς δὲ καὶ προδότης εἰσάγεται Ἀριστοφάνει τῷ κω⌊μικῷ⌋* [fr. Daedali 184. C. A. F. I 435 K.] *καὶ Δημοσθένει τῷ ῥήτορι* [18, 24]. *ὡσαύτως καὶ ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις* [fr. 39. C. A. F. I 267 K.], *Δήμοις* [fr. 127. C. A. F. I 291 K.], *Ἀριστοφάνει δὲ Προάγωνι* [fr. 468. C. A. F. I 512 K.], *Ἀμφιαράῳ* [fr. 26. C. A. F. I 398 K.], *Θεσμοφοριαζούσαις* [861]. *ὁ Ἀριστόδημος δὲ μιαρὸς καὶ καταπύγων ἐς ὑπερβολήν, ἀφ' οὗ καὶ ὁ πρωκτὸς Ἀριστόδημος καλεῖται· Κρατῖνος Πανόπταις* [fr. 151. C. A. F. I 60 K.]

"'*Ἀριστόδημος ὡς ἀσχημονῶν*
ἐν τοῖς Κιμωνίοις ἀνὴρ ἐρειπίοις."

ὡσαύτως καὶ Ἀριστοφάνης Δαιταλεῦσιν [fr. 231. C. A. F. I 451 K.]. *τούτοις ὅμοιος καὶ ὁ Σώστρατος.* ∼

⌊B⌋CVφΩ

---

1 *τὸ γένος* Ω Vat. 942 | *σύλλος* BV, cf. 4 | *τρί . . λλὸς* sic B; *λλ* etiam φMΩ ‖ 2 *ὡς* — 4 *ἄνδρες* om. CV ‖ 4 *Ὦλός τ' Εὐρύβατός τε κτλ.* Suid. s. v. *Εὐρύβατος* | *τριβαλλός* B ‖ 6 *ὡς* — *φησί* om. CV | *Φερεκράτης* Iacobitz ‖ 7 *μεταβαλεῖν φησι διὰ κακοήθειαν* (*κακοπάθειαν* C) CV | *ἐν* — 8 *νήσων* om. CV ‖ 9 *ὡς* BV; *καὶ* C ‖ 10 *Ἀριστοφάνει* — 11 *ῥήτορι* om. CV ‖ 12 cf. Suid. *Φρυνώνδας· τῶν ἐπὶ πον. διαβεβοημένων* | *Εὐπόλιδι* — 16 *Θεσμοφοριαζούσαις* om. CV ‖ 15 *Ἀμφιάρεῳ* Suid. l. l. ‖ 17 *ἐς* CV; om. B ‖ 18 *Κρατῖνος* — 22 *Δαιταλεῦσιν* om. CV ‖ 20 *ἀσχημονῶν* ex *ἀρχημόνων* B ‖ 21 *ταῖς* B | *ἀνὴρ ἐρειπίοις* Bergk (coll. Phot. *Κιμώνεια ἐρείπια*); *ἀνερίπια* B

—] σημείωσαι. ~ BV. Addit B: τί δ' ἂν εἶπας τὸ καθ' ἡμᾶς Κέρκωπας θεασάμενος; ~

ὅλως γὰρ ἐπινόησον κτλ.] σημείωσαι. ~ V

5 κατὰ τὴν Θῶνος κτλ.] σημείωσαι. ~ V

Ἀπολλωνίῳ] ἰδοὺ καὶ οὗτος Ἀπολλώνιον διαβάλλει. ~ B 5

8 καὶ* Δελφοὺς κτλ.] ⌊προ⌋συπακουστέον κἀνταῦθα ⌊τὸ⌋ κατενόησαν, οἷον ⌜καὶ Δελφοὺς ⌊οὕ⌋τω κατενόησαν πλουτῆσαι καὶ ⌊ἀο⌋ιδίμους γενέσθαι⌝. ~ ⌊B⌋VΩ

—] ὦ γόης, τί πλαγίως ταῦτα περὶ τῶν σῶν μαντείων ἀλλὰ μὴ φανερῶς καὶ ἐλευθερίως γράφεις; ~ B 10

9 Ἀβώνου τεῖχος κτλ.] εἰ μὲν Ἀβωνοτειχῖται τοιοῦτοι, οὐκ ἔχω λέγειν· ἐπεὶ ἄλλως γε Παφλαγόνας οὐκ ἂν ἀπράγμονας σωφρονῶν ἔγωγε θείην, εἰ μὴ καὶ σφόδρα δεινοὺς καὶ ἱκανοὺς καὶ προχειροτάτ⌊ους⌋ πᾶν τε κακὸν ἐξευρεῖν καὶ ἐξευρόντας χρήσασθαι ἀναιδεστάτως καὶ μάλιστα, εἰ τύχοιεν, 15 οἷς ἡ μεταχείρισις ἀνθρώπων κουφοτάτων καὶ πεφυκότων ἀπομύττεσθαι ῥᾳδ⌊ία⌋, ὁποῖοι οἱ τὸ τοῦ Εὐξείνου στόμα Βυζάντιοι περιοικοῦντες. ~ ⌊B⌋

κοσκίνῳ* — μαντευόμενος] σημείωσαι. ~ V

—] ἐπὶ τῶν εὐτελεστάτων μάντεων τοῦτο λέγεσθαι εἴωθεν. ~ VBCΩ 20

13 ἀγείροντες*] ἀντὶ τοῦ ἀγυρτεύοντες. ~ VUΩ

15 μόνῃ τῇ μορφῇ* οὐχί] ⌊τὸ⌋ μονονουχί διεῖλεν εἰπὼν "⌊μό⌋νῃ τῇ μορφῇ οὐχὶ πρό⌊βατα εἶναι διαφερόντων". ἢ καὶ οὕτως ⌜μόνῃ τῇ μορφῇ διαφερόν⌊των⌋ τὸ μὴ πρόβατα εἶναι⌝. ~ V⌊B⌋UΩ 25

16 ⌊οὐδὲ ἑ⌋ς κόρον τοῦ φωτὸς δεχόμενον: ⌊Ἀττι⌋κὴ ἡ σύνταξις· ⌊τὸ γὰρ ἐ⌋πὶ μέρους λέγειν Ἀ⌊θηναί⌋ων, οἷον ⌜ἔφαγον τοῦ ἄρ⌊του⌝, ⌜κα⌋τέαγα τοῦ κρανίου⌝. ~ ⌊B⌋VΩ

---

22 in V praecedit παρ̣δ̣, quod quid significet ignoro (vix παρῳδεῖ sim.) ‖ 24 μὴ οὐχὶ Luc. vulg. | διαφερόντως B 25 ἢ — διαφερόντων om. V ‖ 27 cf. sch. Timon. 48 ‖ 29 κατέαγον codd.

πονήρως*] Ἀττικοὶ καὶ ἐπὶ σωματικῆς διαθέσεως ὀξύνουσι τὸ πονηρός. ~ VCUΩ

σκευαστὸν* κτλ.] σύνθεσις τοῦ λεγομένου θεραπιδίου. ~ 21 VφΩ

ἀκόπου τι ὄνομα* πεπλασμένον] πέμμα, κοπτοῦ τι 22 πέμμα. ~ B

Ἀλέξανδρος ὁ προφήτης] οὐχὶ καὶ οὗτος, ὦ Λουκιανέ, Παφλαγὼν ἦν; πῶς οὖν παχεῖς καὶ ἀπαιδεύτους τοὺς Παφλαγόνας ὀνομάζεις καὶ ἀναισθήτους τοιούτου πανούργου τοῦ Ἀλεξάνδρου ὄντος καὶ τοιαύταις πιθανότησι τοὺς προσιόντας χλευάζοντα; καὶ κἂν τοὺς ἀφ' ἑτέρων χωρῶν ἔδει διαγνῶναι τὰ αὐτοῦ πανουργεύματα, ἀλλ' οὐκ ἦν δυνατὸν τῆς Παφλαγονικῆς κακοτεχνίας μὴ πάντας ἀπελεγχθῆναι μαραίνοντας. εἰ δὲ τὴν τῶν Παφλαγόνων φρένα καὶ εὐφυίαν καὶ περὶ πάντα εὐδοκίμησιν γνῶναι ἀκριβέστερον ἤθελες καὶ ἧς ἐν ταῖς ἡμέραις ἡμῶν, ἔγνως ἂν ἰδὼν ἅπαντα τὰ ἔθνη ὑπὸ Παφλαγόνων νοὸς κατατροπούμενα καὶ τὸν ἅπαντα κόσμον ἄγαν εὐφυῶς κυβερνώμενον. ~ UΩm3

τὴν* γὰρ Σελήνην κτλ.] εἰς τὸν Ἐνδυμίωνα διαβάλλει 35 τὸν λόγον, ὃς Κὰρ βουκόλος ὢν ἐρασθῆναι ὑπὸ Σελήνης μυθεύεται. ~ VBφΩ

τὴν πενθερὰν Σελήνην] σημείωσαι· ὑπὲρ τοὺς Παφλαγόνας τὸ ἀναίσθητον, ὦ Λουκιανέ, ὅσον ἐπὶ τῷ 'πενθερὰ Σελήνη'. ὅτι δὲ τὴν θυγατέρα τοῦ Ἀλεξάνδρου γεγάμηκας, καὶ πάνυ ἐπαινῶ. ~ U

ὥσπερ Ἀθήνησι κτλ.] λῆρον Λουκιάνιον· βέλτιον εὐστο- 38 μεῖν σε. ~ U

ἄθεος ἢ Χριστιανὸς ἢ Ἐπικούρειος] πολλὰ βουλόμενος ἐπικρύπτειν, ὦ Λουκιανέ, τὴν ἀλήθειαν καὶ ἀμαυ-

---

1 ὅτι οἱ ἀττ. C ‖ 7—19 varias lectiones codicis Ω non possideo ‖ 12 αὐτοῦ scripsi; αὐτὰ U ‖ 12. 13 haec vix sana ‖ 13. 14 ἀπελεχθῆναι U ‖ 24 ἐπὶ τὸ U ‖ 25 fort. γεγάμηκε ‖ 27 λῆρος Λουκιάνειος?

ροῦν ⌊τὴν⌋ περὶ Χριστιανῶν δόξαν τῇ τῶν Ἐπικ⌊ου⌋ρείων παραζεύξει ἑάλως νῦν γο⌊ῦν⌋ ἀληθείας, ὡς τὸ μὲν ἔργον τῷ κ⌊α⌋κοδαίμονι καὶ οἷς ἔσεβε δαί⌊μ⌋οσι Χριστιανοὺς ἀπελαύνες⌊θαι⌋, ὡς οὐκ ἐξὸν δαίμοσι βακχ⌊ε⌋ύειν παρόντων Χριστιανῶν δυν⌊ά⌋μει καὶ ἐνεργείᾳ οὐ σέβουσι Χ⌊ριστὸν⌋ υἱὸν⌊⌋ θεοῦ· κατὰ τὸ πάρεργον δὲ καὶ Ἐπικούρειοι παρελήφθησαν, ἵν⌊α⌋, ὡς ἔ⌊φ⌋αμεν, συγχέηται ἡ ἀλήθ⌊ει⌋α καὶ Ἐπικουρείοις Χριστια⌊νοὶ⌋ συναριθμοῖντο. οὐχ ἧττον δὲ⌊⌋ σκότος φωτί. καὶ δῆλον ἀφ' ⌊οὗ⌋ τῷ μὲν δῆθεν ἱεροφάντῃ ἡ τῶν Χριστιανῶν ἀνατέθειται ἀποκήρυξις, ἡ δὲ τῶν Ἐπικουρείων τοῖς πλήθ⌊εσι⌋. πέπονθας δὲ τοῦτο, ᾗ καὶ οἱ δαίμονες ὁμολογοῦντες υἱὸν θεοῦ καὶ θεὸν τὸν τούτους ἀπελαύ⌊νοντα⌋ σωτῆρα ἡμῶν. ~ ⌊B⌋

39 τινὲς Παφλαγόνες κτλ.] σημείωσαι. περὶ τῆς σκευῆς τῶν Παφλαγόνων καὶ τῆς αὐτῶν βρώσεως. ~ Γ

40 δίης*] ἤτοι Διός. ~ VΩ

ἐς Διός] ⌊ ⌋ ὁ μιαρὸς πολλὴν ἑαυτοῦ ⌊κατ⌋γνωκὼς τῆς ἀτόπου ἀπάτης ⌊τὴν ἀ⌋θεΐαν, ἐλπίσας δὲ μὴ ἂν ⌊ἀτ⌋μώρητα ταῦτα παρελθεῖν ⌊ἀλ⌋λὰ θεόθεν ἐκδίκησιν ⌊παθ⌋εῖν, ᾗ καὶ ὁ Ἀναξαγόρας ⌊β⌋ληθεὶς κεραυνῷ, ταῦτα ⌊ἀπ⌋οχρᾷ νῦν, ἵν', εἰ συμ⌊ ⌋, ἔχοι τὴν πρόρρησιν τὸ ⌊σε⌋μνὸν αὐτῷ προμαρτυροῦσαν, ὡς ἐς Διὸς χωροίη. ~ ⌊B⌋

43 Λεπίδῳ* κτλ.] ἔφη γὰρ [c. 25] τὸν Λέπιδον τοῦ⌊τον⌋ ἐν Ἀμάστριδι κατ⌊οι⌋κεῖν Ἐπικούρειον ὄντα. ~ V⌊B⌋φΩ

44 τὸν* δεῖνα] ἴσως ἐνδόξου τοῦ ἀ⌊νδρὸς⌋ ὄντος τοὔνομα τ⌊ὸ⌋ κ⌊ύ⌋ριον παρῃτήσατο. ~ V⌊B⌋φΩ

---

2 γοῦν A. Eberhard ‖ 5 οὗ B (coniunxi δαίμοσι — οὐ σέβουσι) ‖ 6 ἐπικούριοι B, cf. l. 8. 10 ‖ 7 ἔφαμεν: lin. 1; ἵνα κρύφα μὲν A. Eberhard ‖ 11 τοῦ. ᾗι, fort. rasura inter η et ι, B (ᾗ Iacobitz); cf. l. 20 ‖ 12 cf. Areth. ad Peregrin. 13 (τὸν δὲ ἀνεσκολοπισμένον) ‖ 13 ἀπελαύ, accentus supra υ (non ἀπέλαυνες, quod legit Iacobitz) ‖ 17 Π fere litt. abscissae, tum ´ et post accentum λ vel α, tum ὁ ‖ 20 de Anaxagora cf. Luc. Timon. 10 ἀποχρᾷ Diels ‖ 21 συμ, lac. cr. III litt., ὁ vel ὸ, tum (post lenem interpunctionem) ἔχοι; συμβῇ τι, ἔχοι Diels

⌊γῆ⌋ν πρὸ γῆς: τοῦτο εἴωθε ⌊λέγεσθαι *Ἀθηναίοις* ἀντὶ 46
⌊τοῦ κ⌋ατὰ πάσης τῆς γῆς, ὅ ⌊φα⌋μεν τόπον ἐκ τόπου. ∼
⌊B⌋CVφΩ
κομίσας*] σημείωσαι, ὡς θιασώτης ἦν καὶ οὗτος ὁ ἐπὶ 47
κακῷ τῆς αὐτοῦ κεφαλῆς τοῖς λόγοις ἐγγυμνασάμενος Λουκιανὸς τῆς *Ἐπικούρου* αἱρέσεως. ∼ V
χρησμὸς νυκτερείσιος*] ⌊ἀπ⌋όλοιο, γόης, ⌊τῆ⌋ς ἀπεράντου 53
⌊εὐ⌋ραπελίας. ∼ ⌊B⌋VφUΩ
οὐδὲν πρὸς τὸν *Ὅμηρον**] ⌊ἀπὸ παρ⌋οιμίας παρῴ⌊δηται
τῆς⌋ *ὀὐδὲν πρὸς* ⌊*τὸν Διό⌋νυσον*'. ∼ ⌊B⌋VφUΩ
ὀκτώ μοι χρησμοὺς κτλ.] σημείωσαι. ∼ ΓV 54
ἐγὼ δὲ προσφὺς κτλ.] ἀναιδείας ταῦτα καὶ μωρίας ἐσχά- 55
της. ∼ B
*Ποδαλειρίου**] ⌊οὐχ ὅτι καὶ *Ποδαλείριος* τοιοῦτόν τι πέ- 59
πονθε, ταῦτά φησιν, ἀλλὰ παίζων⌋ ὡς ἀπὸ *Ποδαλειρίου*, ὃς ἰατρὸς ἦν, ἔλκων τὸ γένος· ὁ δὲ σηπεδόνι διαβέβρωται τὸν πόδα. ∼ ⌊B⌋VΩ
κατὰ τύχην] ἄθεε, καὶ ἀπρονόητον τὸ πᾶν; ∼ B 60

43. *Εἰκόνες.*

Γυναικὸς ἀμύ⌈μονος ὦ⌉ραν συγγράφει, ⌈σω⌉ματικήν τε καὶ *ψ⌈υχικὴν⌉* συμπλέκων· ⌈ ⌉νων τὸ γράμμα ⌈ ⌉κράμα, πολλῶν ⌈ ⌉ καὶ χειρὸς καλλιγρά⌈ ⌉ κἂν ἐν προθύρ⌈ ⌉ παρεγγράφ⌈ ⌉λ' ὡς ἄριστα σωφ⌈ ⌉ τοῖς ὑστέροις. ∼ ⌈φ⌉
Σίπυλον: ὄρος *Λυδίας* περὶ *τὴν Σμύρναν*, ἐν ᾧ ἡ *Νιόβη* 1
ἐκ λίθου πεποίηται, ὃ *Κουζηνᾶς* ἐπιχωρίως καλεῖται. ∼ K
ἡ λίθος ἡ *Ἡρακλεία*] *τὴν Μαγνῆτιν* λέγει. ∼ ⌈2

---

5 καλλῶ V; cr. Solanus ‖ 9 cf. sch. De salt. 80 ‖ 14 τοιοῦτο V ‖ 20 cf. versus ad dialogum Pro imag. ‖ 23 παρεγγράφ, tum η? ‖ 26 τὸ κοινολεκτούμενον ὄρος κουζηνᾶς Paris. 3012 (cf. sch. Pind. Ol. 1, 62) ‖ 27 μαγιτιν ⌈2; cf. Phot. s. v. *Ἡρακλείαν λίθον*

12 αὐτῷ* τῷ μέτρῳ] τῷ αὐτῷ μέτρῳ, τῇ αὐτῇ προθυμίᾳ. ἔστι δὲ παροιμιῶδες. ~ Vφ

13 τὴν Πανδίονος] τὴν Πρόκνην ἤτοι τὴν ἀηδόνα. ~ V

14 τῷ Θρᾳκί] τῷ Ὀρφεῖ. ~ V

τῷ ἀνὰ τὸν Κιθαιρῶνα*] Ἀμφίονα λέγει, ὃς τὰς Θήβας ἔκτισε τὰς Βοιωτίας ὑπὸ αὐλῷ καὶ κιθάρᾳ. ~ Vφ

16 ὥσπερ ἡ Κλειώ*] καὶ γὰρ τὰς Μούσας ἄλλην ἄλλης φασὶν ἔφορον εἶναι τέχνης λογικῆς καὶ ἐπιστήμης, Κλειὼ μὲν ἱστορίας, ἧς καὶ εὑρέτιν εἶναί φασι, Θαλείαν κωμῳδίας, Εὐτέρπην αὐλῶν, Μελπομένην τραγῳδίας, Τερψιχόρην ψαλτηρίου, Ἐρατὼ κυμβάλων, Πολύμνιαν ὀρχήσεως, Οὐρανίαν ἀστρολογίας, Καλλιόπην ποιήσεως. ~ VCφ

18 Σαπφώ*] ὅσον εἰς σῶμα εἰδεχθεστάτη Σαπφώ, μικρά τε καὶ μέλαινα ὁρωμένη, καὶ τί γὰρ ἄλλο ἢ ἀηδὼν ἀμόρφοις τοῖς πτίλοις ἐπὶ σμικρῷ τῷ σώματι περιειλημένη. ~ VCφ

19 πραγμάτων ἐσωφρόνησε κτλ.] σημείωσαι. ~ Γ

21 οὐδὲν* τραγικόν] οὐ προσποιητὸν ἢ μεθ' ὑποκρίσεως γινόμενον ἀλλὰ ἐνδιάθετον καὶ ἐξ ἀληθοῦς γνώμης κατορθούμενον. ~ Vφ

οὐδεὶς γὰρ ἂν κτλ.] σημείωσαι. ~ Γ

44. *Περὶ τῆς Συρίης θεοῦ.*

3 τό γε τοῦ Ἡρακλέος κτλ.] ἐξ Ἡροδότου [2, 44] τοῦτο λαβὼν ἔχει. ~ E

4 Ἀστάρτην* κτλ.] ὅτι ἡ παρὰ Σ⌜ιδωνίοις⌝ Ἀστάρτη ἡ α⌜ὐτή ἐστι τῇ⌝ Σελήνῃ. Σι⌜δώνιοι δὲ⌝ Εὐρώπην φ⌜ασὶν ἁρπα⌝σθεῖσαν μὲν ⌜ὑπὸ Διός⌝, τῷ δὲ ἀ⌜φανισθῆναι αὐ⌝τὴν εἰς

---

5 λέγει om. V ‖ 7 ὅτι τὰς inc. C ‖ 9 εὑρετὶν Vind. 114; εὑρετὴν cet. | φασι om. C | δὲ κωμ. C ‖ 10 εὐτέρπην etiam pro τερψιχόρην CV ‖ 10. 11 ψαλτῆρος C ‖ 12 καὶ καλλ. C ‖ 13 praecedunt in K et Vind. 114: εἰ μέν τι τῆς ἀγλαΐας τῆς ψυχῆς ἐπαινετὸν ἀπεφέρετο σαπφώ, οὐκ ἔχω λέγειν· τινὰ γὰρ ἐρωτικὸν γράφουσα· ἐπεὶ ὅσον κτλ. ‖ 15 περιειλημμένη codd. ‖ 24 ἡ (post ὅτι) om. C

θεὸν κατεφή⌈μ⌉ισαν⌉. ~ ⌈V⌉EC. Addit C: *λέγεται δὲ παρ' Αἰγυπτίοις Ἀστάρτη ἡ Ἀφροδίτη.* ~

νόμισμα κτλ.*] ⌈ὅτι καὶ τὸ νόμισμα Σι⌉δωνίοις βοῦν ἐπίση⌈μον ἔχει τὴν Εὐρώπην⌉ κατανενωτισ⌈μένον⌉. ~ ⌈V⌉EC

*μνήμην**] ⌈ἀντὶ τοῦ⌉ κατὰ μνήμην ἢ ⌈εἰς⌉ μνήμην. ~ ⌈V⌉E 6

καὶ τὴν κεφαλὴν ἐθεησάμην βυβλίνην*] ⌈τοῦτο καὶ 7
ὁ ἡμέτερος θεῖος προφήτης Ἡσαΐας ἐπι⌉κερτομεῖ καὶ τωθάζει τῷ κατὰ Δαμασκοῦ ῥήματι, δι' ὧν φησιν [18, 1] "οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη ⌈ὅμηρα ἐν θαλάσσῃ καὶ ἐπιστο⌉λὰς βυβλίνας ἐπάνω τοῦ ὕδατος", ἐπιστολὰς βυβλίνας τὴν ἐτησίως τῆς πα⌈ρούσης κεφαλῆς πομπὴν⌉ ἐπιστελλομένην ὑπὲρ τῶν πλανωμένων ἀποσημαίνων, ὡς καὶ τῷ ἐν ἁγίοις Κυρίλλῳ δοκεῖ ἐν τοῖς εἰς τὸν ἅγιον Ἡσαΐαν ὑπομνήμασιν αὐτοῦ. ~ E⌈V⌉

*Στρατονίκη . . . τῆς ὁ πρόγονος ἠρήσατο**] scholion 17
margine deciso interiit ~ E

τοιάδε οἶνῳ ἑωυτὴν κτλ.] ὠραῖον. ~ E 22

Γάλλοι οἱ πάντῃ ἀπόκοποι τὰ αἰδοῖα, οὓς νῦν καρτζιμοὺς καλοῦσιν. ~ EC

οὐκ ἐρέω] οὐδὲ γὰρ ὅσιον, οἶμαι, τὴν αἰτίαν ἐρεῖν κιναίδειαν *Διονύσου κατήγορον*, παρόσον καὶ ὁ φαλλὸς τοῦ *πεπορνευκότος Κοροίβου Διόνυσον* ὑπόμνημα μισθὸν τοῦτον αὐτῷ *Διόνυσον* ἐκτετικότα *Σεμέλης* τῆς μητρὸς μήνυτρα. ~ E 28

ἀσοφίη] ἄνοια, ἄγνοια. ~ E 35

*ἀλεκτρυών**] πότερον ὄρνις ἢ ἀνὴρ οὕτω καλούμενος; 48
ὄρνιθι γὰρ τί συντελέσει μισθὸς καὶ τοσοῦτος; ἢ πῶς ἐν τῇ λίμνῃ καὶ ποία μηχανῇ ὄρνις οὐκ ἀμφίβιος οἰκήσει; ~ REV

τοῦτο κτλ.*] ἐμπεπυρισμένος πυρὶ καὶ οἰμώζων, βωμολόχε. ~ 60
E

---

1 κατευφίμησαν C ‖ 7 καὶ — 8 φησιν om. V ‖ 10 ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα (om. πρὸς — ἔθνη) Septuag. ‖ 12 τῆς om. V ‖ 13 ὑπὸ V ‖ 13 ὡς — 15 αὐτοῦ om. V ‖ 19 καρτζιμὰς C Vat. 1325 ‖ 22 κατήγορον Vind 114; κ^{τ} γορον E ‖ 23 κορύβου E ‖ 24 μήνυθρα E ‖ 25 ἄγνοα E

45. *Περὶ ὀρχήσεως.*

2 κωμῳδίας ἅπερ κτλ.] σημείωσαι. ~ Γ

5 μὴ ὥραισιν*] Ἀττικὸν τοῦτο καὶ σόλοικον δοκοῦν· ὤφειλε γὰρ ‘μὴ ὥρας’ εἶναι, αἰτιατική· σημαίνει δὲ τὸ μὴ εἰς τοὐπιὸν φθάσαι. νῦν δὲ ἡ Ἀττικὴ συνήθεια δοτικῇ κέχρηται παραλόγως, ὡς καὶ ἐπὶ τοῦ ‘ἄμφω τὼ χεῖρε’ καὶ ‘τοῖν χεροῖν’ θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ ἄρθρα προσνέμουσα. ~ ECRVφUΩ

8 Ῥέαν] Ῥέα πρώτη ὄρχησιν ἐπετήδευσεν. ~ ER

μετὰ δὲ Κρητῶν οἱ κτλ.] μετὰ Ῥέαν Κρῆτες. ~ ER

9 Νεοπτόλεμον κτλ.] Νεοπτόλεμος Ἀχιλλέως παῖς. ~ ER

37 ἀπὸ γὰρ χάους — c. 50 Ἡρακλέους πάλην] σημείωσαι ἱστορίας διαφόρους. ~ V

38 Δήλου* πλάνην κτλ.] φασὶ γὰρ τὴν Δῆλον τὴν νῆσον πρὸ τοῦ τὸν Ἀπόλλωνα ὑπὸ Λητοῦς γεννηθῆναι πλανᾶσθαι κατὰ τὸ Αἰγαῖον πέλαγος Ἀστερίαν καλουμένην περὶ τὰς Κυκλάδας νήσους ἄλλοτε ἀλλαχοῦ νέουσαν. Λητὼ δὲ ὑποδεξαμένη καὶ ἐπὶ τῷ τόκῳ ξενίσασα — οὐδὲν γὰρ αὐτὴν μέρος γῆς ἐπίτεκα οὖσαν ὑπεδέχετο δι’ ὀργὴν καὶ ἀπειλὴν Ἥρας — ἔστη τῆς ἅλης καὶ μέση τῶν Κυκλάδων ἐρριζώθη· διὸ αὐτὴ μὲν Δῆλος ἐκλήθη ἅτε δήλη γεγονυῖα τῇ παγίῳ στάσει, αἱ δὲ περὶ αὐτὴν κυκλοῦσαι αὐτὴν Κυκλάδες, καὶ ἦν τὸ ἀπὸ τούτου ἱερὰ Ἀπόλλωνος. ἱστορεῖ Καλλίμαχος ἐν τῷ εἰς Δῆλον ὕμνῳ [36 sq.]. ~ ECRVφUΩ

τὸ μέσον* τῆς γῆς — ἀετῶν] λέγουσιν ἐν Δελφοῖς ὀμ-

---

3 cf. sch. Dial. deor. IX 4. Dial. mer. X 3 | καὶ τοῦτο καὶ C ‖ 4 αἰτιατικῆς R | τὸ εἰς τὸ μὴ ἐπιὸν C ‖ 5. 6 παρ. κέχ. δοτ. R ‖ 7. 8 νέμουσα C ‖ 11 ὁ ἀχιλλέως R | tum E (sicut R; sed haec ex R non enotavi omnia) in mg. c. 10 λακεδαιμόνιοι, c. 19 ἔμπουσα, c. 20 ῥωμαῖοι, c. 21 πρίαπος ἄρης, c. 22 διόνυσος βάκχαι, c. 23 ὅμηρος ἡσίοδος, c. 25 σωκράτης, c. 26 τραγωιδία κωμωιδία, c. 27 φορητὸς ἡ ὠιδή, c. 79 ληθεδανόν ‖ 14 cf. sch. Dial. mar. IX 1 ‖ 16 ἀστερίαν καλουμένην postea add. m 1 (Areth.) E ‖ 17 νήσους om. V | νεύουσαν Vφ ‖ 19 ἐπίτοκα R ‖ 21. 22 cf. C ad Dial. mar. IX

φαλὸν εἶναι ἐπὶ τοῦ ἐδάφους τοῦ νεὼ καὶ περὶ αὐτὸν αἰετὸν γεγράφθαι ἀπὸ συνθέσεως λίθων καὶ τοῦτο ἔφασκον τὸ μέσον ἁπάσης τῆς γῆς. ~ ECRVφUΩ

Δημήτριον*] Δημήτριος οὗτος ἐπὶ τοῦ Σεβαστοῦ ἤκμαζεν, 63
οὗ Μᾶρκος ἐν τοῖς Ἠθικοῖς [8, 25] αὐτοῦ μέμνηται. ~ E
—] σημείωσαι. ~ V

Νέρωνα κτλ.] σημείωσαι. ~ V 64

προσοίκους, ἔφη, βαρβάρους κτλ.] σημείωσαι. ~ E

ἐπεὶ δὲ ἔμαθε κτλ.] σημείωσαι. ὡραῖον. ~ V 66

καὶ ἄλλον μεμηνότα κτλ.] σημείωσαι. ~ V 67

Λεσβῶναξ] τοῦτον λέγει Λεσβώνακτα, οὗ καὶ ἄλλαι μελέ- 69
ται ῥητορικαὶ φέρονται θαυμάσιαι καὶ ἐνάμιλλοι Νικοστράτου καὶ Φιλοστράτου τῶν ἐν τοῖς νεωτέροις σοφισταῖς διαπρεπόντων, μάλιστα δὲ αἱ ἐρωτικαὶ ἐπιστολαὶ πολλὴν τὴν ἐκ τῶν λόγων ἀποστάζουσαι ἡδονήν. ~ ER
—] σημείωσαι. ~ V

φιλοσοφίαν αἰδῶς κτλ.] ὡραῖον. ~ V

παράδοξον εἶναι κτλ.] σημείωσαι. ~ V 73

ὁποῖον κτλ.] ⌊ὁπ⌋οῖον χρὴ τὸν ὀρχηστὴν εἶναι κατά τε 74
ψυχὴν καὶ σῶμα. ~ ⌊E⌋R

τὸ δὲ σῶμα κτλ.] σημείωσαι. ~ V 75

σκελετῶδες κτλ.] σημείωσαι. ~ Γ
—] σκελετῶδες et νεκρικόν in mg. repetita. ~ E

Ἕκτορα κτλ.] σημείωσαι. ~ V 76

Ἡροδότῳ* μὲν οὖν τὰ δι' ὀμμάτων φαινόμενα πι- 78
στότερα εἶναι τῶν ὥτων δοκεῖ] καὶ καλῶς δοκεῖ. ἀλλ' ὡς οἶμαι ἄλλους τοιαῦτα ποιεῖν παιδεύων αὐτὸς τῷ ὄντι τὰ διὰ τῶν ὥτων ἔγραφε. ~ RΓ

μηδέν, ὥς φασι, πρὸς τὴν χορδήν*] τοῦτο οὐ παροι- 80
μία ἀλλ' ἐκ παροιμίας μετείληπται τῆς 'οὐδέν φασι πρὸς τὸν Διόνυσον'. ~ REVφΩ

---

2 ἀετὸν R ‖ 12. 13 ἐνάμιλλαι νικοστράτῳ καὶ φιλοστράτῳ R ‖ 19 οἷον R ‖ 26. 27 ἄλλως R ‖ 28 ἔγραψεν R ‖ 30 παρείληπται R | cf. sch. Alex. 53

82 κακοζηλία*] ὅτι κακόζηλον τὸ ὑπερτεῖνον τὸ μέτρον βούλεται, ὅπερ ἄλλοι ψυχρολογίαν ἔφασαν. ~ VECRφUΩ

83 οὐχ ὑποκρίνασθαι μανίαν ἀλλὰ μαίνεσθαι αὐτός] τοιοῦτό τι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς γέγονε χρόνων. δαιμονῶντα γάρ τινες τῶν ἀκροατῶν νέων ἐκμιμούμενοι οὕτως ἐάλωσαν τῷ πάθει, ὥστε τὸ λοιπὸν τῆς ζωῆς μὴ ἀνενεγκεῖν τοῦ πάθους ἀλλὰ συναπελθεῖν τῇ ὀλεθρίῳ ταύτῃ μιμήσει. ~ E

85 εὖ οἶδα ἐγὼ κτλ.] σημείωσαι. ~ V

46. *Λεξιφάνης.*

1 τητινόν*] χρόνου δηλωτικὰ τὰ τρία ταῦτα ἐπιρρήματα πέρυσιν, τῆτες, νέωτα. ὡς οὖν ἀπὸ τοῦ χθές γίνεται χθεσινόν, οὕτως ἀπὸ τοῦ τῆτες τητινόν, σημαῖνον τὸ ἐπέτειον ἤτοι τοῦ αὐτοῦ ἔτους. τὸ δὲ νεοχμόν τὸ καινὸν σημαίνει, ἀφ' οὗ καὶ ῥῆμα τὸ νεοχμῶ, καὶ ἔστιν ἀπὸ τοῦ νέον καὶ τοῦ ἔχω νεοχόν, καὶ νεοχμόν πλεονασμῷ τοῦ μ̄. χρῆται τῇ λέξει Θουκυδίδης [1, 12]. ~ ECVφΩΔ

κυψελόβυστα: κυψέλη λέγεται καὶ ὁ τῶν ὤτων ῥύπος, λέγεται καὶ τὸ κεραμεοῦν στενόστομον ἀγγεῖον τὸ ἀπίσσωτον. νῦν δὲ τὸν ῥύπον ἀκουστέον. ~ VEΩΔ

ἀνέγνωσ*] ἀντὶ τοῦ ἀνελογίσω. ~ E

πεδοῖ κατάβαλε: ἴσως ἀντὶ τοῦ πρὸς πέδον κατάβαλε. ~ VECφΩΔ

ἡ Κυψελίς: οὕτως ὁ ῥύπος τῶν ὤτων. λέγεται κυψέλη καὶ τὸ ὀστρακεοῦν ἀγγεῖον, ᾧ τοὺς ἄρτους ἀποτίθενται· ἐν ᾧ καὶ ὁ Κορίνθου τύραννος ἀρτιγένητος ὑπὸ τῆς μητρὸς

---

1. 2 λέγεται C ‖ 2 ἔφασκον C ‖ 11 cf. sch. Icarom. 33 | τὰ om. E ‖ 14 σῆ δὲ τὸ Cφ et (σημᾶί) V ‖ 15 καὶ (post οὗ) om. C ‖ 21 ἀνελογήσω E (-ίσω Γ_3) ‖ 24 Arethas ante λέγεται et post κυψέλη interpunxit | λέγ. δὲ καὶ κυψέλη Ω ‖ schol. 18 et 24 coni. Δ ‖ 25 ἢ στενόστομον ἀγγεῖον ἀπίσσωτον post ἀποτίθενται add. C (cf. lin. 19) ‖ 26 ἀρτιγέννητος C

κατακρυβεὶς Κύψελος ὠνομάσθη. ἄμφω δέ, ἥ τε κυψελὶς καὶ ἡ κυψέλη, παρὰ τὸ κρύβειν τὴν ἕλην ἐρρήθησαν. ~ CEVφΩΔ. Addit C: λέγεται δὲ καὶ πλεκτόν τι ἀγγεῖον. ~

εὔαρχος: τὸ μὲν εὔαρχος τὸ καλὴν ἀρχὴν ἔχειν, εὔλογος δὲ τὴν συνθήκην εὐάρμοστος, εὔλεξις δὲ καὶ εὐώνυμος τὸ εὐπρεπέσιν ὀνόμασι καὶ λέξεσι κεχρῆσθαι. ~ VEφΩΔ

στλεγγίδα κτλ.] στλεγγὶς ἡ ξύστρα, ἔοικε δὲ τὸ κτένιον οὕτω καλεῖν. φωσώνια δὲ ταινίας λέγει ὀθονίνας, ῥύμματα τὸν σάπωνα ἢ καὶ τὸ νίτρον· ἐχρῶντο γὰρ καὶ νίτρῳ οἱ παλαιοὶ ἐν τοῖς λουτροῖς. ναυστολεῖν τὸ βαστάσαντα ἄγειν. τὸ ἐπίλουτρον δὲ τὸ ἐν τῇ συνηθείᾳ βαλανικόν. ἐγγυοθήκη δὲ τὸ κιβώτιον, ἐν ᾧ ἔστιν ἀσφαλῶς καὶ ἐχεγγύως καταθεῖναι. ~ ECVφΩΔ

ἑλινύσεις*] ἀντὶ τοῦ ἐπίσχῃς, καταμείνῃς. ~ EVΩΔ

—] βραδυνεῖς. ~ φ

εὐπόρως*] ἀντὶ τοῦ πορεύεσθαι δυνάμενος. ~ EVφΩΔ

τράμιν οἱ μὲν τὸ τρῆμα τῆς ἕδρας, οἱ δὲ τὸ ἀπὸ τούτου μέχρι τῆς ἀρχῆς τοῦ βαλάνου χωρίον, ὃ καὶ ὑπόταυρον καλοῦσιν· ἔστι δὲ καὶ γραμμὴν ἔχον ἐπανεστηκυῖαν ὁμοίαν ῥαφῇ. ~ ECVφΩΔ

ἐπ' ἀστράβης: ἀστράβη τὸ σάγμα ἤτοι ἡ σέλλα. τοὺς οὖν τὰ σεσαγμένα ζῷα ἐλαύνοντας ἔοικεν ὁ καινολόγος ἀστραβηλάτας καλεῖν, ὥσπερ καὶ ἁρματηλάτας εἰώθαμεν καλεῖν τοὺς ἐλαύνοντας τοὺς ἵππους, οἵτινες τῷ ἅρματι ὑπεζεύχθησαν. ἄλλοι δὲ ἀστράβην ὡς Ἀθηναῖοι τὴν ἄζυγά φασιν ἡμίονον, ἐφ' ἧς ὀχούμεθα. ἀπὸ τούτου καὶ ἀστραβηλάτας τοὺς ὀπαδοὺς τούτων φασίν. ~ VECφΩΔ. Addit Δ: τοῦ ζώου οὕτως ἐλαυνομένου, ὥσπερ ἔφαμεν. ~

---

4. 5 εὐλογίαν — εὐάρμοστον Δ ‖ 8 ταινίας om. C ‖ 8. 9 ῥύμματα EC ‖ 14 ἐπίσχῃς καταμείνῃς scripsi (coniunctivus pro futuro); ἐπίσχεις καταμείνεις EV; ἐπισχήσεις καταμενεῖς Δ ‖ 18 cf. infra p. 192, 12 ‖ 21 cf. sch. De hist. consc. 45. Nav. 30 | ἤτοι τὸ σαμάριον K | σέλλα ἀφ' οὗ καὶ ἀστραβηλάτης ὡς ἁρματηλάτης ἄλλοι δὲ C ‖ 25 ὡς Ἀθ. om. C ‖ 25. 26 ἡμίονόν φασι C | ἀπὸ κτλ. om. C ‖ 28 ἔφημεν Δ

ἀσκωλιάζων: ἀσκωλιάζειν τὸ ἐφ᾽ ἑνὶ ποδὶ βεβηκότα οὕτω κινεῖσθαι, τὸ δέ ἐστιν ἄλλεσθαι· μονόποδι γὰρ τί ἄλλο εἰς κίνησιν περιλείποιτο ἢ ἄλλεσθαι; ἀσκωλιάζοντι οὖν ἀντὶ τοῦ μονόποδι πηδῶντι. ~ VECφΩΔ

συντυμβωρυχήσας] ἄξιος εἶ τῷ ὄντι τυμβωρυχίας τοιαῦτα περὶ τοὺς λόγους ἀσελγαίνων. ~ E

2—4 τοῦ τε κρύους ἕνεκα καὶ ὅτι καύματα* ἦν] ἔοικε τὰ ἀπὸ τοῦ κρύους γινόμενα ἐγκαύματα εἰς τὸ σῶμα ἡμῶν λέγειν. ἀρόματα δὲ τὰ ἀρότρῳ ἐξειργασμένα πεδία. σκάνδικες δὲ καὶ βράκανα εἴδη λαχάνων. κάχρυς δὲ σιτηρὸν ὅσπριον. τὸ δὲ ἐδάρην τὸν ὄρρον ἀντὶ τοῦ ἀνεσύρην, ἐτρίβην τὸν ὑπόταυρον ἤτοι τὴν τράμιν. λεκιθόπωλις δὲ ἡ τὰ ἀληλεσμένα ὄσπρια ἤτοι τὰ βεβρεγμένα πωλοῦσα· οἱ ἰατροὶ δὲ λέκιθόν φασι καὶ τὸ τοῦ ᾠοῦ ὠχρόν. γρυμαιοπώλης δὲ ὁ τὰς εὐτελεῖς ὀπώρας πιπράσκων. σέλγη δὲ ... πυριάτης δὲ καὶ ἐγκρυφίας ἄρτοι εἰσὶν ὁ μὲν ἐν κλιβάνῳ, ὁ δὲ ἐγκρυφίας ἐπὶ τῇ σποδῷ ὠπτημένος. γήτεια δὲ τὰ κρόμμυα. οἶβος δὲ τὸ περιτραχήλιον ἀπὸ τῶν ὄπισθεν κρέας, λωγάνιον δὲ τὸ ὑπὸ τὸν τράχηλον καὶ μάλιστα τῶν βοῶν. σίλλος δέ ἐστιν ὁ διάστροφος τοὺς ὀφθαλμούς. ἠδύνειν δὲ τὸ σκευάζειν ἤτοι μαγειρεύειν. κάρδοπος δὲ ἡ μάκτρα ἤτοι ἡ πλατεῖά ἐστι σκάφη. ξηραλοιφεῖν δέ ἐστι τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι ἐλαίῳ. γνώμονα δὲ τὸ τοῦ σκιοθηρίου τῆς σκάφης ἤτοι τοῦ ὡρολογίου μέσον ἐπανεστηκὸς κανόνιον

---

7 in C leguntur tantum 10 ὅτι σκάνδικες — 11 ὅσπριον, 12 λεκιθόπωλις — 15 πιπράσκων, 16 πυριάτης — 18 ὠπτημένος, 18 οἶβος — 21 ὀφθαλμούς ‖ 9 ἀρόματα ἀροτριάσματα Vat. 942 ‖ 11 τοῦ om. E (ut saepe post ἀντί) ‖ 12 cf. p 191, 17 ‖ 14 οἱ ἰατροὶ (om. δὲ) — ὠχρόν hoc loco om., ad c. 3 λεκιθοπώλιδι ascript. E post πωλοῦσα add. Vat. 942: οἱ δὲ ὠοπολήτριαν λέγουσιν | καὶ om. C ‖ 15 γρυμαιοπώλης, in mg. m 1 γρυμαιοπώλης καὶ γρυτοπώλην, C (cf. p. 193, 13) ‖ 16 post δὲ spatium cr. XIV litt. E, cf. φ; nullum spatium (σέλγη σειτραχήλιον ἐγκρυφίας κτλ.) V: σελέγη κοινὰ δειπνητήρια Vat. 942 ‖ 18 cf. sch. Pisc. 45 | γείτια E

λέγει, ὃ τὰς ὥρας δείκνυσι τῇ ἑαυτοῦ σκιᾷ. πόλον δὲ τὸ μέσον καὶ κοῖλον τοῦ αὐτοῦ ὡρολογίου λέγει. Καριμάντας δὲ τοὺς σύγκλυδας οἶμαι καὶ συρφετώδεις φησί. βύζην δὲ ἐπιρρηματικῶς ἀκουστέον τὸ οἱονεὶ διὰ τὴν συνέχειαν τοῦ ὄχλου καὶ τὴν πίλησιν παραβεβυσμένους ἑστάναι καὶ ὠθεῖν τε καὶ ὠθίζεσθαι· τοῦτο γὰρ τὸ ὠστίζεσθαι σημαίνει. τὰ κόρα δὲ δηλονότι δυικῶς τὰς κόρας σημαίνει τῶν ὀφθαλμῶν. σκαρδαμύττειν δὲ τὸ σκαίρειν πυκνῶς τὰ βλέφαρα. φαρμακᾶν δὲ τὰ ὄμματά φησιν ἀντὶ τοῦ φαρμάκων ἤτοι ἰατρείας δεῖσθαι. ∼

EVφΩΔ et ex parte C

διανεῦσαι*] ἀντὶ τοῦ κολυμβῆσαι. ∼ EVφΔ 2

γρυμαιοπώλῃ*] γρ΄ γρυτοπώλην· ἔστι δὲ ὁ τὰ εὐτελῆ 3 σκευάρια πωλῶν, παρὰ τὸ γρῦ, οὕτω δὲ Ἀθηναῖοι τὸν ῥύπον φασὶ τῶν ὀνύχων. ∼ EVφΩ

λωγάνιον Ἀμβρακιῶται καὶ Ἠπειρῶται τὸ ἀπὸ τοῦ τραχήλου φασὶ τῶν βοῶν ἀγόμενον χάλασμα καὶ λῆγον εἰς τὸ μεταξὺ τῶν βραχιόνων, ὥς φησι Διονύσιος ὁ Ἰτυκαῖος ἐν πρώτῳ Γεωργικῶν. ἔστι δὲ ἡ Ἰτύκη πόλις Σικελίας. ἔοικε δὲ οὐ βοὸς λέγειν λωγάνιον ἀλλὰ ζῴων ἑτέρων τὸ στηθύνιον, τὸ τῶν βοῶν δὲ ἄχρηστον τοῦτο τὸ μέρος, ὃ καὶ λαμυρίδα φασί. ∼ EVφΩΔ

ψύττα* κατατείνας] ἀντὶ τοῦ ταχέως δραμών. ∼

ECVφΩ

λαταγεῖν κοττάβους] οἱ ἀκριβέστερον περὶ κοττάβων διαλαβόντες δύο φασὶν εἶναι κοττάβων εἴδη, κατακτὸν καὶ δι᾽ ὀξυβάφων. ὁ μὲν οὖν κατακτὸς τοιοῦτος· ἦν τι οἱονεὶ λυχνεῖον ὑψηλὸν ἔχον ἐν ἑαυτῷ πρόσωπόν τι, ὃ ἐκαλεῖτο

---

1 λέ et 2 λέγεται V ‖ 10 δεῖται E ‖ 13 γρυποπώλην V ‖ 18. 19 cf. Cass. Dionys. Utic. fr. 158 Reitzenstein [De scriptorum r. rustic. libris deperd. p. 58] | ἐν πρ. Γεωργ. om. V ‖ 19 exsp. Λιβύης καταντικρὺ Σικελίας ‖ 21 pr. τὸ suspect. ‖ 23 cf. sch. Cron. 35 | δραμόντα C ‖ 26 εἴδη κοττάβων V ‖ 27 δι᾽ om. EVφ ‖ 28 ὃ καὶ Δ

μάνης, ἐφ' οὗ ἔδει πεσεῖν τὴν καταβαλλομένην πλάστιγγα, ὡς Ἀριστοφάνης [Pac. 1244] φησὶ

"γενήσεταί σοι τῶν κατακτῶν κοττάβων."

ὁ δὲ δι' ὀξυβάφων τοιοῦτος· ἀγγεῖόν τι λουτηριδίῳ ἐοικὸς πλῆρες ὕδατος ἐτίθετο ὀξυβάφων κενῶν ἐπιπλεόντων, ἅπερ ἦν καταδύειν ταῖς ἀπὸ τῶν στομάτων προϊούσαις λάταξιν ὁ ἀγών. Ἀντιφάνης Ἀφροδίτης γοναῖς [Antiph. fr. 55. C. A. F. II 33 K.]

"ἐγὼ πιδείξω, καθὼς ἂν τὸν κότταβον
ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσῃς πεσεῖν.
πλάστιγγα ποίαν; τοῦτο τὸ ὑποκείμενον
ἄνω τὸ μικρόν, τὸ πινακίσκιον λέγεις;
τοῦτ' ἐστὶ πλάστιγξ· ἐὰν μόνον τύχῃ
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται."

παρῆλθε δὲ ὁ κότταβος εἰς τὰ συμπόσια ἀπὸ τῶν περὶ Σικελίαν πρῶτον εἰσαγαγόντων. πρὸς δὲ τούτοις κυκλοτερεῖς ἐποιοῦντο οἱ δεῖπνοι, ἵνα πάντες εἰς τὸ μέσον τεθέντος τοῦ κοττάβου ἔχοιεν ἐξ ἴσων τῶν ἀποστάσεων ταῖς λάταξι βάλλειν καὶ περὶ νίκης ἀγωνίζεσθαι. οὐ τῷ βάλλειν δὲ μόνον ἐφιλοτιμοῦντο, ἀλλὰ καὶ τῷ καλῶς· ἐπὶ γὰρ τοῦ ἀριστεροῦ ἀγκῶνός τις ἑαυτὸν ἐπερείσας ὑγρῶς ἀφίει τὴν λάταγα, ὡς ἐνίους μέγα φρονεῖν ἐπὶ τῷ κοτταβίζειν ἢ ἐπὶ τῷ ἀκοντίζειν. δοκεῖ δέ μοι καὶ τὸ ἐν τῇ συνηθείᾳ κοττίζειν ἀπὸ τούτου βαρβάρως καὶ περικεκομμένως εἰρῆσθαι. ~ EVφΔ λαταγεῖν* κοττάβους]. εἶδος παιδιᾶς ὁ κότταβος τοιοῦτο·

---

7 Ἀντιφάνης Iacobitz coll. Athen. XV 666 F; ἀριστοφάνης E, ἀριστοφάνιος Δ; Ἀντιφάνης — 10 πεσεῖν om. V, — 24 εἰρῆσθαι om. φ ‖ 9 διδάξω καθ' ὅσον ἂν Ath. XV (sed πιδείξω Ath. XI 487 D) ‖ 10 ποιήσεις E ‖ 11 πλάστιγγας δὲ τὸ ὑπ. V | τοῦ Δ | τοὐπικείμενον Ath. XV ‖ 12 λέγει V ‖ 13 τοῦτ' ἐστὶ πλ. om. V | πλάστιγξ, οὗτος ὁ κρατῶν γίγνεται. πῶς δ' εἴσεταί τις τοῦτ'; ἐὰν κτλ. Ath. | ἐὰν δὲ μ. V | τύχῃ μόνον Ath. ‖ 14 μάνιν V ‖ 16 τοῦτο V ‖ 24 καὶ παραλ μένως V ‖ 26 εἶδος — κότταβος etiam in C

μέσον ἵσταται χάραξ ἄνωθεν ζυγὸν κατὰ κορυφὴν ἐπαιωρῶν, καθ' ἑκάτερον δὲ ἄκρον ὁ ζυγὸς πλάστιγγας φέρει ἀνδριανταρίων ταῖς πλάστιγξιν ὑποκειμένων. ὁ κοτταβίζων τοίνυν λαβὼν εἰς τὸ στόμα ὑγρὸν ὀτιοῦν οἴνου ἢ ὕδατος καὶ πλήσας τὰς γνάθους ἀφίησι διὰ τῶν χειλέων ὑπὸ μίαν σταγόνα τοῦ ὑγροῦ κατὰ τῶν πλαστίγγων. αἱ δὲ δεξάμεναι κοῖλαι οὖσαι καὶ καθελκόμεναι τῷ βάρει κατὰ τὸ ἐπικρατοῦν τοῦ ὑγροῦ φέρονται κατὰ τῶν ὑποκειμένων ἀνδριανταρίων καὶ κρούσασαι ἀνὰ μέρος ἑκατέρα κατὰ τὴν ἑτεροζυγίαν τοὺς ἀνδριάντας ποιὸν ἦχον ἀποτελοῦσιν, ὃς εὐφραίνει τὸν ἐρῶντα ὡς τῶν παιδικῶν κατευστοχοῦντα· ἐρωτικὴ γὰρ ἡ παιδιά. εἰ δὲ τῶν πλαστίγγων ἡ λάταξ διαμάρτοι, ἠττᾶσθαι δοκεῖ ὁ ἐρῶν καὶ ὑπὸ τῶν παιδικῶν ἠμελῆσθαι. καλοῦνται δὲ τὰ ἀνδριαντάρια μάνης. ~ EVφΩΔ

θριδακίνας*] εἶδος ἄρτων αἱ θριδακῖναι. ~ EVφΩ

δυσωπῶ*] ἀντὶ τοῦ ἀμβλυώττω, κακῶς διάκειμαι τοὺς ὤπας. ~ EVφΩΔ 4

ἀπερυθριᾶσαι: ἐπίτηδες ὁ παιγνιήμων τὸ ἀπερυθριᾶσαι τέθεικε διὰ τὸ γελοῖον. βούλεται δὲ αὐτῷ σημαίνειν τὸ τὸ ἐρύθημα ἤτοι τὸ αἱματῶδες τῶν ὀφθαλμῶν ἀποκαθᾶραι. λημαλέον δὲ τὸ σὺν λήμαις φησί, καὶ τὸ διερόν τὸ δίνυρον, ὅ, κἂν μὴ λέγωμεν, δῆλον. ~ VEφΩΔ

ἀπησθημένοι: ἀντὶ τοῦ ἀποδυσάμενοι· ἐσθήματα γὰρ τὰ ἱμάτια. ἔοικε δέ μοι αὐτὸς ταῦτα τοῦ γελοίου καλῶς γε ποιῶν διαπλάττειν, ὅσον καὶ προφάσεως μὴ ὑπούσης γέλωτος αὐτὸς ἀνευρίσκων προφάσεις οὐ διαλείπει. ~ EVφΩΔ 5

συντριβέντες: ἀντὶ τοῦ ἀλλήλους διατρίψαντες καὶ ἀνα-

---

2 πλάστιγγα V ‖ 5 διὰ om. V ‖ 11 ἔρωτα VΔ ‖ 14 μάνεις VΔ | scholia p. 194, 26 et 193, 25 coni. (οἱ ἀκριβέστερον δὲ) VΔ ‖ 16 Θρ. τὸ μαρούλιον. ἔστι δὲ καὶ εἶδος ἄρτου Vat. 942 | ἄρτου Ω ‖ 18 ὅπας E ‖ 23 ὑγρόν V ‖ 25 fort. ἕνεκα post γελοίου add. ‖ 27 προφάσεις εὑρίσκων V ‖ 29 ἀλλήλως V

βάντες ἀλλήλους, ὃ ποιεῖν εἰώθασιν ἐπί τινων παιδιῶν οἱ νικῶντες ἀναβαίνοντες ἐπὶ νῶτον τοὺς ἡττημένους· ἔνθεν καὶ κατανωτισάμενοι εἶπεν. τὸ δὲ ἐμπαίξαντες οἱονεὶ παίξαντες ἐν τῷ γυμνασίῳ. ψυχροβαφὲς δὲ τὴν ψυχράν φησι πύελον, ἐν ᾗ φησιν ὑποδύντες ὡσεὶ δελφῖνες τὰς κάρας κυβιστῶντες ὑπὸ τῷ ὕδατι ἐκολυμβῶμεν. τὸ δὲ ἐξυόμην ἀντὶ τοῦ ἐκτενιζόμην· ὀδοντωτὴν γὰρ ξύστραν τὸ κτένιόν φησι. κηπίον δὲ καὶ σκάφιον εἶδη κουρᾶς. ~ EVφΩΔ

6 ὀκλαδίαι: ὀκλαδίας μὲν δίφρος, ἣν ἀναπαύστραν φασίν. ἀσκάντης δὲ ὁ εὐτελὴς κράβατος. συμφορῶν δὲ διαπαίζων εἶπε τὸν ἔρανον. ~ CEVφΩΔ

δίχηλαι ὕειαι: τὰ τῶν ποδῶν ἄκρα τῶν ὑῶν ἡδέα ὄντα πρὸς ἐδωδήν. ὡσαύτως καὶ αἱ σχελίδες τὰ ἀπὸ τῶν σκελῶν τῶν ζῴων εἰς μῆκος ἀφαιρούμενα, ἃ φασιν ἀκρονάρια. ~ EVφΩΔ

τοκάδος* ὑός] ἐπὶ τῇ μήτρᾳ τῶν χοίρων ἐσκεύαζον οἱ τῶν παλαιῶν βιοφάγοι βρῶμά τι συγκόπτοντες πολλὰ κρέα καὶ τυρὸν καὶ ἥδυνον αὐτοῖς βρώματα. ~ EVφΩΔ

λοβὸν ἐκ ταγήνου τὸ ἧπάρ φησι τὸ ἀπὸ τηγάνου. μυτωτὸς δέ ἐστι τρίμμα διὰ σκορόδων καί τινων ἄλλων. μελιτοῦτται δὲ οἱ ἐκ μέλιτος πλακοῦντες. ἀπῳδὸν δὲ ἀλεκτρυόνα τὸν παρηβηκότα. λειπογνώμονα δὲ βοῦν τὸν τὸ γνῶμα ἀποβαλόντα, ὅ ἐστιν ὁδοὺς ἀπὸ γενετῆς. ~ EVφΩΔ

ἀβυρτάκη: σκεύασμα βαρβαρικὸν διὰ καρδάμου καὶ πράσων. Νυμφόδωρος δὲ ἐν τρίτῳ Βαρβαρικῶν νόμων [fr. 19. F. H. G. II p. 380 Müller] φησίν, ὡς λυτικῷ κοιλίας χρῆσθαι τούτῳ τοὺς βαρβάρους. ~ EVφΩΔ

---

2 νώτων Δ ‖ 4 τῷ συμποσίῳ V ‖ 5. 6 τὸ ψυχροβαφὲς κάρα Luc. ‖ 11 ἀσκάντης κτλ. om. C | κράβαττος E | συμφορῶν EV, cf. Luc.; συμφορὰν Δ ‖ 14 δὲ καὶ Δ ‖ 17 τῶν ζώων V ‖ 18 βουφάγοι Bast ‖ 20 cf. sch. Tim. 54 ‖ 26 καρδάμων φ, cf. Phot. Ath., Etym. ‖ 27 Νυμφ. — 28 φησίν om., δὲ post λυτικῷ et φασὶ post τούτῳ add. V

— ἄλλως. ἀβυρτάκη: ὑπότριμμα βαρβαρικὸν κατασκευαζόμενον διὰ πράσων καὶ καρδάμων καὶ ῥόας κόκκων καὶ ἑτέρων τοιούτων δριμέων. Θεόπομπος Θησεῖ [fr. 17. C. A. F. I 737 K.]

"ἥξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη."

ἔστι δὲ καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου [fr. 280. C. A. F. III 79 K.] τοὔνομα. ~ Δ

θρῖα: τὰ φύλλα τῆς συκῆς. λέγεται δὲ οὕτως καὶ τὸ εἰς αὐτὰ ἐνδεσμούμενον βρῶμα, ὡς καὶ νῦν τὰς ἀσταφίδας τινὲς ποιοῦσιν εἰς αὐτὰ συσκευάζοντες αὐτάς. ἀμέλει καὶ τοῦτό φημι σημαίνειν αὐτὸν νῦν, ἐπεὶ καὶ αἱ μελιτοῦτται παράκεινται, αἵ εἰσιν οἱ νῦν λεγόμενοι πάστιλλοι. ~ ECVφΩΔ

Κωπαΐδας ἐγχέλεις λέγει Βοιωτιακὰς τὰς ἐκ τῆς Κωπαΐδος λίμνης πολὺ διαφερούσας τῶν ἄλλων. ὅιν δὲ ἱπνοκαῆ τὸν κλιβανίτην ἄρνα. ~ EVφΔ

δελφινίδος* τραπέζης] οὕτω λέγεται παρὰ τὸ δελφίνων 7 τύπῳ τοὺς πόδας ἔχειν. ~ VEφΩΔ

κρυψιμέτωπος ὁ διὰ μέγεθος ἐν τῷ ἀνακλᾶσθαι τὸ μέτω- 7—10 πον ἀποκρύβων. μεντορουργὴς δὲ ἀπὸ Μέντορός τινος ὑαλοψοῦ τούτῳ καταχρησαμένου τῷ εἴδει τῶν ποτηρίων, ἃ ἦσαν πρὸς τῷ πυθμένι μεγάλην ἔχοντα τὴν λαβήν, ἀφ' οὗ καὶ εὐλαβῆ αὐτὰ κέκληκε, βομβυλιὸς δὲ τὸ στρογγύλον, οἷα τὰ νῦν πιθάκνια, δειροκύπελλα δὲ τὰ μακρὰ μέν, εἰς χώνης δὲ τύπον ἐξειργασμένα, γηγενῆ δὲ τὰ ὀστράκεια λέγει, εὐρυχαδῆ τὰ βαθέα καὶ πλατέα, εὔστομα δὲ τὰ λεπτοχειλῆ, ἀνεμοφόρητα δὲ τὰ ἐλαφρότατα διὰ λεπτότητα, διὸ καὶ ἐπήγαγεν ὑμενόστρακα, κυμβία δὲ τὰ στρογγύλα μέν, βαθέα δέ, καὶ φιαλίδες τὰ στρογγύλα καὶ ἀβαθῆ, γραμματικὰ δὲ τὰ γραμμὰς

---

2 ῥοιὰς et 3 ὁριμὺ δηλονότι Suid. ‖ 12 αὐτὸν ΕΩΔ et (*ν* superscr.) C; αὐτὸ V ‖ 21 ἀκοκρύπτων Δ ‖ 24 αὖ E

ἴσως ἔχοντα. κυλικεῖον δὲ τὸ δοχεῖον, ὃ ποτηροπλύτην νῦν καλοῦσιν. ἀκροθώραξ δὲ ὁ μέσως πως μεθύων. δικοδίφης δὲ ὁ συνήγορος ἀπὸ τοῦ τὰς δίκας διφᾶν. χρυσοτέκτονα δὲ τὸν χρυσοχόον φησί. λεῖρον τὸν γυναικεῖον κόσμον λέγει παρὰ τὸ ἡδὺν εἶναι, παρόσον καὶ τὰ ἄνθη λείρια φαμεν. ἑλλόβια τὰ ἐνώτια παρὰ τὸ τοῖς λοβοῖς τῶν ὤτων ἐνηρμόσθαι. πέδας τὰ ψέλια. ἄδικον ἡμέραν καὶ ἄλογον τὴν δίκας μὴ ἔχουσαν ἢ δικανικοὺς λόγους. ἐχεγλωττίαν δὲ τὴν ἀργὴν ποιοῦσαν τὴν γλῶττα-ν. ὀπτὸν τὸν εὐπρόσιτον παρὰ τὸ εὐκόλως ἄνευ τῶν ἀπασχολούντων ὁρᾶσθαι. ἄχρηστα τὰ καινά, οἷς οὐδεὶς ἐχρήσατο. εὐήτριον δὲ τὸ λευκὸν καὶ λεπτὸν ἱμάτιον. ἀρρητοποιοὺς ἑκουσίως διασύρων εἶπε τοὺς τελεστὰς διὰ τὴν μυστηριωδίαν αὐτῶν. ∼ EVΦΩΔ

8 ἱπνολέβης*] τὸ ἐν τῇ συνηθείᾳ μιλιάριον. ∼ ECVΦΩΔ ἐπέτρεπεν*] ἀντὶ τοῦ ἀπέπεμπεν. ∼ EVΦΔ βακχάριδι*] εἶδος ἐντρίμματος μυρώδους. ∼ EVΔ ποδοκτύπη τὸ τύμπανον. τριγωνίστρια δὲ ὄργανον μουσικὸν οὕτως ἀπὸ τοῦ σχήματος καλούμενον. ∼ EVΔ

9 λῆρον*] ἤτοι γυναικεῖον κόσμον ἐξ ἐσθημάτων ποικίλων καὶ ἀνθινόν, καθότι λείρια τὰ ἄνθη φασίν. ἢ καὶ χρύσεον κόσμον ἡδύνοντα τῇ ὁράσει τὴν ὄψιν· διὸ καὶ Λειριόεσσαν ὅπα' Ὁμηρός [Γ 152] φησιν. ἢ ὥσπερ λῆρόν φαμεν τὴν ἀδολεσχίαν διὰ πέρα τοῦ δέοντος περιττόν, εἴρηκε καὶ νῦν οὗτος λῆρον τὸν τοῦ Θήλεος κόσμον ὡς περιττὸν τῆς χρείας καὶ παρέλκοντα. ∼ EV

10–12 ἀμηγέπη: ἀντὶ τοῦ κατά τινα τρόπον, ὅσον δή τι. ἀτι-

---

1 κυλικεῖον Δ; κυλίκιον EVφ ‖ 3 τὰς om. V ‖ 4 λεῖρον in schol. (ει in ras. E), sed λῆρον in textu EΔ; cf. lin. 20 et Phot. s. v. ληροί ‖ 6 λείρια, ει in ras., E ‖ cf. sch. Gall. 29. Deor. conc. 7 ‖ 7 ψέλλια Δ ‖ 15 λεγόμενον μιλ. C (cf. Ath. III p. 98 C) ‖ 16 ἀνέπεμπεν Δ ‖ 20 cf. lin. 4 | ποικίλων V ‖ 21 ἀνθίνων K ‖ 24 Δπέρα E; fort. διὰ τὸ περιττὸν τοῦ δέοντος, εἴρηκε κτλ. ‖

27 cf. Timaei Lex. Plat. ἀ.· ἑνί γε τρόπῳ ἢ ὁπωσοῦν

μαγελοῦντι ἀντὶ τοῦ ἐξυβρίζοντι, ἐκφεύγοντι τὴν στρατείαν, περιφρονοῦντι· καὶ γὰρ ἀτιμαγέλας ταύρους φασὶ τοὺς ἐξοιστρῶντας καὶ τὴν ἀγέλην διὰ γενναιότητα ἀθετοῦντας. καρπόδεσμα δὲ καὶ περιδέραιον καὶ ποδοκάκαι ἁλύσεις εἰσὶν αἱ μὲν χειρῶν αἱ δὲ τραχήλων αἱ δὲ ποδῶν. τὰ δὲ ἐχόμενα τοῦ γελοίου ἕνεκα πέπλασται, οἷον τὸ ὑπέβδυλλεν καὶ πορδαλέος, ἃ δῆλα πᾶσιν. ἀκροκνεφὲς δὲ τὸ ὀρθρινόν φησιν ἔτι σκοτίας οὔσης. Θεοεχθρία δὲ ἡ ὡς ἄν τις εἴποι Θεοχολωσύνη. παίζοντος δὲ κατὰ ἐναντίον τὸ ἀπηγχόνισα. ὀκλάξ δὲ ἀντὶ τοῦ ἐπὶ γόνυ καμφθείς. τὸ δὲ βαυκαλῶν οἱονεὶ διαβρέχων ἢ βοῇ καλῶν καὶ συστρέφων, ὃ διὰ τοῦ διακωδωνίζειν παραδηλοῖ. συνεχὴς δὲ τὴν φάρυγγα ἀντὶ τοῦ πεπιεσμένος, συντεθλιμμένος. ἀναφλῶντα δὲ ἀντὶ τοῦ αἰσχρῶς τὸ αἰδοῖον τῆς πόσθης γυμνοῦντα. Θαυμάζειν δὲ λέγεται καὶ τὸ φιλοφρόνως τι προσάγειν τινί. Σκοπάδειον δὲ ἀντὶ τοῦ Σκόπα ἔργον· τῶν περιωνύμων γὰρ καὶ οὗτος ἀγαλματοποιῶν. ~ EVφΩΔ

λὰξ πατήσας: ἐπὶ τῶν ἐνισχημένων μὲν συμφοραῖς Θαρραλέως δὲ ταύτας ἐκδύντων λέγεται τοῦτο, ὡς καὶ ἐν τραγῳδίᾳ Σοφοκλῆς [Phaedr., fr. 622. F. T. G.^{2} p. 280 N.]

"οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶν ἔργα κηδεύοι πόλιν." ~ EVφΩΔ

μύρτωνα καὶ σχινοτρώκταν: τοὺς μαλακοὺς καὶ αἰσχροὺς οὕτως ἐκωμῴδουν· οὗτοι γὰρ σχῖνον καὶ μύρτα ἐλάμβανον τοῦ μὴ προχείρως ἐνασχημονεῖν. ~ EVφΩΔ

πολιάς*] πέπαικται τὸ πολιάς· εὐθεῖα γάρ ἐστιν, οἷον ἡ πολιάς τῆς πολιάδος. ~ ΔE

---

3. 4 ἀθετοῦντας suspect. ‖ 7 ὑπέβδαλλεν V; ὑπέβδελλεν ὑπέβδει Vat. 942 ‖ 10 ἀπηγχόνησα codd. ‖ 11 διαβρέχων suspect. ‖ 16 τι om. V | σκοπάδιον codd. ‖ 20 ἐνδύντων V | ταῦτα V ‖ 25 κηδεύει Δ

13 παρηβηκότος*] προσυπακουστέον οἴνου. ~ EVφΔ
τρυφαλίδας* τυροῦ] τὰ ἀπὸ τυροῦ ἐπιμήκη πεπλασμένα. ~ ECVφΩΔ
χαμαιπετεῖς ἐλαίας, ἃς καλοῦμεν δρυπεπεῖς· αὗται γὰρ εἰ μὴ ἀφ' ἑαυτῶν ἀπορρυῶσι τοῦ δένδρου, οὐ σκευάζονται οὕτως· νευστὰς δὲ τὰς κολυμβητὰς λέγει. ὀξυόστρακα δὲ τὰ ἐξεσμένα στίλψεως ἕνεκεν. πλακοῦντα δὲ ἐξ ἐντέρων ἐγκεκορδυλημένον, ὃν διὰ τοῦτο καὶ κρωβυλώδη εἶπεν, οἱονεὶ ὡς κρωβύλον ἀναδεδεμένον, ὃ ἡ νῦν συνήθεια χορδὴν λέγει. παιδοβοσκὸν δὲ τὸν διδάσκαλον. διέμπιλον δὲ τὴν πολλοῖς πίλοις περιτεθειμένην. ~ EVφΩΔ

14 συνυθλήσομεν*] ἀντὶ τοῦ φλυαρήσομεν. ~ EVφΩΔ

15 λογᾷ*] ἀντὶ τοῦ λέγειν ἐπιθυμεῖ. ~ EVφΩΔ
εὐφοροῦσαν: ἀντὶ τοῦ φορῷ τῷ πνεύματι φερομένην. ἀκροκυματοῦσαν δὲ τὴν μετρίοις τοῖς κύμασιν ἔτι διολισθαίνουσαν. ~ EVφΩΔ
ἕκτορας καὶ ἰσχάδας καὶ ναυσιπέδας τὰ σιδηροβόλιά φησι. ~ EVΔ
πλεῖ κτλ.] πέπαικται τῷ κακοδαίμονι τὸ πλεῖ καὶ νεῖ καὶ θεῖ, προστακτικά, καὶ πλέον ἔτι τὸ ἀπὸ τῆς ληφθείσης εἰκόνος τῆς τριαρμένου νεὼς τὸ ἀπόγειος πίνειν· δεικνύει γὰρ ἀπὸ τούτου, ὅτι ὡς ληροῦντας αὐτοὺς παραλογίζεται. ~ EVφΩΔ
κατουρουμένην*] καὶ τοῦτο πέπαικται ἀποσκωπτικῶς εἰς τοὺς ὀνοματοποιοῦντας· κοινὸν γὰρ τοῦτο καὶ κατὰ τοῦ φορτικοῦ τὸ κατουρουμένην. ~ EVφΩΔ

16 πάντα* ὅμοια] ἴσως ἀπὸ τῆς 'πᾶν ὅμοια' παροιμίας. ~ EVΔ

---

4 δρυπετεῖς Δ ‖ 8 ἐγκεκορδυλημέν|ων ex ον, ut vid.| V ‖ sch. 15 et 18 coni. V (ἕκτορας δὲ) ‖ 19 φασι VΔ ‖ 20 κακοδαίμονι τὰ προστακτικὰ ταῦτα καὶ πλέον V; κακοδ. τὸ πλεῖ — νεῖ τὰ προστακτ. ταῦτα καὶ πλ. Δ ‖ 23 ὅτι om. V ‖ 27 κατουρουμένη V ‖ 28 πᾶν ὁμοῖα EV; π. ὁμοίω Δ

δοκεῖς δέ μοι κτλ.] ὡραῖον. ~ E 17

Σώπολιν* — ἡμιμανεῖς καὶ κορυζῶντας ἀπήλλαξεν 18
ἐγχέας φάρμακον] εἶθε καὶ νῦν τουτονὶ Σώπολιν εἴχομεν· οὐ γὰρ ἂν ἡμιμανεῖς καὶ κορυξῶντας — μικρὸν γὰρ τοῦτό γε — ἀλλ' ἀποπλήκτους καὶ λεμφώδεις ὅλους τοῦτο μὲν περὶ μεταχείρισιν λόγων τοῦτο δὲ περὶ τὴν τῶν πολιτικῶν πραγμάτων διάθεσιν ἰάσατο ἄν, εἰ καὶ χαλεπῷ καὶ δυσμεταχειρίστῳ ὅσα γε τὰ τῆς παρούσης σκαιότητος ἐπεβάλετο ἄν. ποῦ γὰρ ἂν τοσούτου εὐπόρησεν ἐλλεβόρου; τίνων Οἰταίων ὀρέων, τίνων Ἀντικύρας ὀροπεδίων ἐπιδαψιλευομένων τὴν χορηγίαν; καὶ τὸ δὴ χαλεπώτερον τίνας καὶ πέπεικεν ἂν παρασχεῖν ἑαυτοὺς περιοδευθησομένους; οὕτως ἁπάντων κατακόρως κακοδαιμονούντων, ὡς μὴ ἄν τινα τούτων ἑαυτὸν τῶν ἀπ' αἰῶνος εἰς σύνεσιν ὑμνουμένων οὐχ ὅπως ἐνάμιλλον οἴεσθαι φανῆναι ἀλλ' οὐδὲ ἐγγὺς τούτῳ γενέσθαι, τὸ τοῦ Ὁμήρου [Δ 405] ἴσως ἐξ ἀμαθίας ἄγαν μεθύουσιν ἀνὰ στόμα περιφερόμενον

"ἡμεῖς πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι",

εἰ καὶ ἀληθὲς μέν, κατὰ τὸ χείριστον δέ. ~ ΔE

κατὰ τὸν Μνησάρχου* κτλ.] τὸν Πυθαγόραν λέγει διὰ 19
τὴν πενταετῆ σιωπήν. ἐπίτηδες δὲ τὴν Ἀθηνᾶν ἀντὶ τοῦ αἰδεσιμωτάτην ἀναίσχυντον εἶπε διαβάλλων τὴν τῶν λέξεων πλάσιν καὶ Θηριομάχον τὸν Ἡρακλέα πάλιν, ὃ ἐπὶ τῶν κατακρίτων ἡ συνήθεια οἶδεν. ὀττεύομαι δὲ ἀντὶ τοῦ ἐπείγομαι· καὶ τοῦτο δὲ διαβάλλων τέθεικε τὸν χρησάμενον· τὸ γὰρ ὀττεύεσθαι ἐπὶ τοῦ ἀπὸ θεοῦ κινουμένου ἤτοι προφητεύοντος κεῖται. ῥιναυστήσειν δὲ ἀντὶ τοῦ ταῖς ῥισὶ καταυλῆσαι· ἐποίουν γὰρ τοῦτο ῥιναυλοῦντες ἤτοι διὰ τῶν ῥινῶν ψοφοῦντες ἐπὶ διασυρμῷ τινων καὶ χλεύῃ. ἀκάθαρτον δὲ ἀντὶ τοῦ ἐπίσχεσιν τῶν καταμηνίων πάσχουσαν. ~ VEφΩΔ

---

4 οὐδὲ γὰρ Δ ‖ 5 λεμφώδης E ‖ 14 ἑαυτῶ EΔ; cr. Brinkmann ‖ 16 τὸ om. Δ ‖ 17 περιφερομένων Δ; περιφερομένου E ‖ 18 ἡμεῖς τοι Hom. | εὐχόμεσθα E

21 ἵκταρ*] *Πλατωνικὸν* [Reip. IX 575 C] τοῦτο καὶ σημαίνει τὸ ἐγγύς. ~ VEφΩΔ

καὶ τὸ σκορδινᾶσθαι σημαίνει τὸ μετὰ χάσμης διατανύεσθαι. ~ ECVφΩΔ

ἡ γοῦν σιληπορδία* κτλ.] σιληπορδεῖν παρὰ *Σώφρονι* [fr. 164. Com. Graec. Fr. I 1 p. 179 Kaibel] τὸ στρηνιᾶν καὶ ἁβρύνεσθαι. ἔοικε δὲ οὗτος ἀπὸ τῆς λέξεως ἐπὶ τὸ κακέμφατον αὐτὸ μεταλαβεῖν, ὡς ἂν διὰ τὴν εὐπορίαν τῶν λέξεων καὶ τὸ μέγα ἐπὶ ταύταις φρονεῖν ἐξωγκῶσθαι αὐτῷ τὴν γαστέρα καὶ ἐπὶ τὸ ἀποπνεῦσαι ἤδη τὸν ὄγκον ἐπεῖγεσθαι· πολλῷ δὲ τῷ ὄγκῳ ἀποθλιβομένῳ εἰκὸς καὶ τὸν ψόφον οὐ μέτριον ἔσεσθαι. ~ EVφΩΔ

47. *Εὐνοῦχος.*

2 ὅλας* ἀμάξας βλασφημιῶν] ἐπὶ τῶν ἄγαν ὑβριστικῶς ἀλλήλοις χρωμένων εἴρηται τοῦτο. καὶ γὰρ ἐν τοῖς *Διονυσίοις* ἐφ' ἁμαξῶν ἀναβαίνοντες τοῦ ἅμα τε περίοπτοι καὶ ἐπὶ μακρὸν ἀκουόμενοι εἶναι ἔσκωπτον ἀλλήλους· ἀφ' οὗ παροιμία 'τὰ ἐξ ἁμάξης'. οὗτος οὖν ἵν' ἐνδείξηται πλέον τι ἐπὶ τῷ σκώμματι παρακολουθῆσαν τοῦ εἰωθότος ὅλας εἶπεν ἁμάξας. ~ VEφΩ

3 βοείη ... κατὰ τὸν ποιητήν] ἐκ τῆς *X* τῆς Ἰλιάδος τοῦτο [v. 159]. ~ Γ

δόγμα — τοῖς *Περιπατητικοῖς* τὸ μὴ σφόδρα καταφρονεῖν χρημάτων κτλ.] εἰς *Ἀριστοτέλη* ἀποσκώπτει, ὃς [cf. Eth. Nic. A 9 p. 1099 a 31] καὶ τὴν ἐκτὸς εὐετηρίαν μέρος τῆς εὐδαιμονίας τίθεται. ~ EVφΩ

8 βασιλέως ἀποφέρεσθαι κτλ.] σημείωσαι. ~ V

10 ἄρθρα* ἐν ἄρθροις] κακέμφατον τοῦτο καὶ ὃ φασιν οἱ ἰδιῶται φύσιν πρὸς φύσιν. ~ VEφΩ

---

3 ἐστιν pro σημαίνει C ‖ 9 τῷ Δ ‖ 10 τῷ V ‖ 14 cf. sch. Iov. trag. 44

φιλοσοφεῖν τά γε πρὸς τῶν ὄρχεων] βάλλ' ἐς κόρακας, μιαρέ, εἰ τοῦτο φιλοσοφεῖν ἔγνωκας. ~ ERφΩ 12

ὀπυίειν*] τὸ κατὰ νόμους ἄνδρα συνοικεῖν γυναικί. εἴρηται δὲ παρὰ τὸ τὴν γυναῖκα ἕπεσθαι τῷ ἀνδρί. ~ R

48. *Περὶ τῆς ἀστρολογίας.*

πρῶτον μὲν ὧν *Αἰθίοπες* κτλ.] παρὰ τὰ πᾶσιν ἀνθρώποις σχεδὸν δοκοῦντα ταῦτα· *Χαλδαίους* γάρ φασι πρώτους ἀστρονομίας ἄρξαι. ~ ER 3

ὁ *Ἄπις*] τὸ μοσχάριον. ~ φ 7

τοῦτον τὸν *Τειρεσίην* κτλ.] σημείωσαι. ~ E 11

ἔνθα δὴ *Θυέστης* κτλ.] σημείωσαι. ~ E 12

ξείνη] ἀντὶ τοῦ παράδοξος. ~ E 14

Φαέθων δὲ κτλ.] σημείωσαι. ~ E 19

οὐ ῥηϊδίη τοῖσιν ἀνθρώποισιν κτλ.] σημείωσαι. ~ E 21

*Ἀφροδίτης** κτλ.] ἐξ ἀφροδισίου γὰρ ἀφορμῆς ὁ πόλεμος, ὃν *Ὅμηρος* μέτρῳ ἐνέτεινεν. ~ REVφΩ 22

ἀλλὰ παρὰ μὲν *Δελφοῖς* κτλ.] σημείωσαι. ~ E 23

ἢ ἐθέλεις ἵππου κτλ.] ὡραῖον. ~ E 29

ἀλλὰ τοὺς χρεομένους κτλ.] ὡραῖον. ~ E

49. *Ἔρωτες.*

τοιαύτης ἀνέσεως κτλ.] σημείωσαι. ~ Γ 1

ἀσθενὴς γὰρ ἡ ψυχὴ κτλ.] ὡραῖον ἄγαν καὶ φυσικῆς θεωρίας ἐχόμενον τὸ χωρίον, ὅτι τὰ ἐν γενέσει πάντα διὰ τὴν τῆς ὕλης ἀσθένειαν οὐχ οἷά τέ ἐστιν ὑποστέγειν τὰ εἴδη ἐνδελεχῶς οὐδὲ τῆς τοῦ ἐναντίου ἐπεισόδου ἀνέπαφα, ἀλλ' ἡ θατέρου παρουσία ὥσπερεί τινα ἄνεσιν προμηθεῖ-

---

3 *νόμους* scripsi (cf. sch. in Plat. Crat. 402 C *ὤπυιεν· ὡμίλει, συνεγίνετο κατὰ νόμον —, συνῴκει*); *μύθους* R ‖ 22 *ὡραῖον* om. R

ται τῆς ἀπὸ τοῦ ἑτέρου ἐγκόπου ἤδη ἐνεργείας. ταύτῃ γε δὴ καὶ τῇ ἀνὰ μέρος ἑκατέρων ὑπαλλαγῇ σῴζεσθαι καὶ τὸ ὑποκείμενον ἀφορμὰς λαμβάνει τὸ ἤδη κεκμηκὸς ἐπανάγοντος τοῦ ἐπεισιόντος τῇ τῶν ἐναντίων καταδοχῇ. ~ ERVU

2 θᾶττον ἄν μοι κτλ.] σημείωσαι. ~ Γ

διάδοχοι ἔρωτες κτλ.] ὡραῖον. ~ V

κάρηνα Λερναῖα κτλ.] ὡραῖον σφόδρα. ~ V

Ἡλιάδης*] διὰ τὴν Πασιφάην, ἐπεὶ Ἡλίου οὖσα ἐκ μήνιδος Ἀφροδίτης ταύρου ἠράσθη. ~ ERV

Λημνιάδων*] ἐπεὶ καὶ ταῖς Λημνίαις γυναιξὶν ἔγκοτος Ἀφροδίτη γενομένη εἶτα δυσώδεις αὐτὰς ποιήσασα ἀποκοίτους αὐτὰς ποιῆσαι τοὺς ἑαυτῶν ἄνδρας ἠνάγκασεν. ~ ERV

3 μέχρι ποδῶν κτλ.] ὡραῖον. ~ E

6 δικρότων*] δίκροτος ἡ δύο εἰρεσίας ἔχουσα. ~ VER

καὶ ῥοθίῳ — κατ' οὐδὲν οἶμαι] ὡραῖον ὅλον. ~ ΓE

7 Ἡλιάδος — Ῥόδου] τῷ γὰρ Ἡλίῳ ἡ Ῥόδος ἀνέκειτο. καὶ ὅπως πολὺς ὁ λόγος. ~ E

11. 12 Ἀφροδίτης κτλ.] ἔκφρασις τοῦ ἐν Κνίδῳ τεμένους καὶ τοῦ ἀγάλματος τῆς Ἀφροδίτης. ~ E

15 ἡ τύχη παρεμποδίζει κτλ.] σημείωσαι. ~ Γ

17 ἀφυλακτουμένων*] ἀπὸ τοῦ ὑλακτεῖν. ~ ER

23 ἀμορφίαν πονηρίας εἶναι κατάκριτον] ἆρά γε Σωκράτους, ᾧ τὸ περὶ λόγους ἀριστεῖον ὁ Πύθιος μαρτυρεῖ, ἄλλον ἑώρακεν ὁ κατ' ἐκεῖνο καιροῦ ἄνθρωπος δυσμορφότερον; τί οὖν ἡ τῆς τῶν νέων εὐπρεπείας ὑμῖν, ὦ σοφοί, μεταποίησις; οὐχὶ καὶ ἐν εὐμόρφοις κακία φαίνεται καὶ ἀμαθία; οὐκ ἂν οἶμαι ἀρνήσαισθε, εἰ μή που τὸ αὐτοκρατὲς παρέλοισθε τῆς ἀνθρωπείας ψυχῆς καὶ διὰ τοῦτο καὶ νόμους † ἀναιρήσετε καὶ κρίσεις ⌜ ⌝. ~ ⌜U⌝

---

4 ἐπιόντος V ‖ 12 ἄνδρας ἑαυτῶν V; fort. ἄνδρας αὐτῶν ‖ 16 διόλου E ‖ 22 ἀντὶ τοῦ R ‖ 23 ὥρα γε legeram in U, sicut 26 τοῦ νέων, 28. 29 ἀποκρατὲς, 30 καινόμ$^{\text{os}}$,

—] ὅτι ὁ Σωκράτης δύσμορφος ἦν τοσοῦτον, ὥστε τὸ κατ' ἐκεῖνο καιροῦ μὴ εἶναί τινα τοιοῦτον. ~ C

Φιλαινίς] ταύτην τὴν Φιλαινίδα φησίν, ἣν Φιλοκράτης ὁ 28
'Αθηναῖος κωμῳδιοποιὸς ἐξεπόμπευσεν ὡς ἑταιρίστριαν καὶ
5 τριβάδα. ~ RVU

*εἴξαντες**] νικηθέντες. ~ ER 31

ἵνα μὴ τελέως ἄσπερμον κτλ.] ὦ μιαρολόγε, εἰ χωρὶς 35
γυναικῶν ἄσπερμος ὁ βίος, τό γε λοιπὸν ἐφ' ὑμῖν ἀθετοῦσι
τὸ θῆλυ λύσις ἔσται τοῦ κόσμου· τί γὰρ ἔτι κόσμος τῆς
10 ἀνθρωπίνης χηρεύων φορᾶς; ~ E

ἃ γὰρ ἐκ λογισμοῦ κτλ.] σημείωσαι. ~ Γ 36

*βεβαιοτάτους** ἐρώτων — τοὺς ἄρρενας*] εἰ πάντα
πρός τι τέλος ἡ φύσις ἀφωρίσατο, ὁδὸν δὲ τὴν ἡδονὴν
ἐπενόησε πρὸς τὸ τέλος, εἰπέ μοι, κατάρατε, τί πλέον ἡδο-
15 νῆς ἡ ἀρρενοφθορία ἐπαγγέλλεται, ὡς ἡ τῶν γυναικῶν
μῖξις παιδοποιίαν, ἡ τῶν βρωμάτων ποικιλία τὴν σωματι-
κὴν σύστασιν, ἡ τῶν ἱματίων τὴν ἀπὸ τῆς θάλψεως τῷ
ζῴῳ συντήρησιν καὶ ἐπὶ πάντων ὡσαύτως; ἀλλ' οὐδὲν
ἔχεις τοιοῦτον ἀπὸ τῆς μιαρᾶς δεῖξαι χρήσεως ταύτης· ὅ
20 σοι καὶ πρὸς μεγάλην ἀποτελευτᾷ βλασφημίαν, καὶ μάτην
εἶναι τὴν φύσιν καὶ πολὺ πρότερον. ἀλλ' ἐπὶ κεφαλήν
σοι τὸ δύσφημον, ἄλογον εἰσάγειν τὸν τάξαντα τὴν φύσιν
θεόν. ~ VERU

εἴ γ' οὖν — περιεστᾶσιν ποικίλοις] ὡραῖον πάνυ 39
25 ὅλον. ~ Γ

προπεπτωκότων μαζῶν κτλ.] τί φῄς, ὦ Λουκιανέ; ποι- 41
οῦσιν ὡς ἀληθῶς τοῦτο; ποιοῦσι τῷ ὄντι· ἐπεὶ πῶς αἱ
γεγηρακυῖαι καὶ τῶν αἰγῶν πλέον κεχαλασμένους τοὺς
μαστοὺς ἔχουσαι οὕτω τὰ οὐθατα ἐλάχιστα δίκην καρείνων

---

1 non prorsus certum, rectene huc rettulerim, nam lemmate caret C (margo decisus E) ‖ 2 *ἐκείνου* C ‖ 3 *τὴν* om. RU | *φιλινίδα*, om. *φησίν*, V | fort. *Φερεκράτης* ‖ 4 *κωμωδοποιὸς* R ‖ 17 *τῷ* ex *τοῦ* R rec.; *του* EV ‖ 18 *ζω|ωι* in ras.| E; *ζώου* V | *ἀλλ'* — 21 *πρότερον* om. V | 29 fort. *καρινῶν*

ἔφερον; πείθομαί σοι, ἄνθρωπε, πειθοῦς μεστὰ ῥήματα λέγοντι, καὶ δὴ συνεξύφαινε τὴν λοιπὴν αὐτῶν ἀκρασίαν. ~ Γ2 —] ὡραῖον. ~ Γ

λίθους Ἐρυθραίους κτλ.] ὡραῖον. ~ E

42 Κωλιάδας* — Γενετυλλίδας] ἐπίθετα ταῦτα Ἀφροδίτης, οἷς εἰκὸς τοὺς θεατὰς διασύρειν τὰς χλιδώσας τῶν γυναικῶν. Φρυγίαν δὲ δαίμονα τὴν Ῥέαν λέγει· ᾧτινι καὶ τούτῳ διασύρουσιν, ἔοικέ μοι, τὰς ἀωρολείους τῶν γυναικῶν, ἐπεὶ κἀκείνη τοιαύτη τῷ Ἄττιδι ἐνυμφεύετο. ποιμένα δὲ τὸν Πάριν, ὃς ἀπὸ Φρυγίας κωμάσας εἰς Λακεδαίμονα εἷλεν Ἑλένην τὴν Μενελάου. ~ VERU

44 ὕδατι λιτῷ καὶ* χιτωνίσκον] margine deciso scholion periit (cf. R!). ~ E

χιτωνίσκον*] τὴν ἱερὰν χλαμύδα. ~ R

51 εἰ ταῖς Ἀθήναις* ἡ Κόρινθος εἶξει] ἢ ὅτι Κορίνθιος μὲν Χαρικλῆς, Ἀθηναῖος δὲ Καλλικρατίδας, ᾧ τὴν νικῶσαν ὁ διαιτητὴς οὗτος ἔνειμεν, ἢ ὡς τῆς Κορίνθου μὲν ἀνακειμένης Ἀφροδίτῃ — διὸ καὶ πολλὴ ἐν Κορίνθῳ ἡ γυναικεία μῖξις —, Ἀθηναίων δὲ παιδεραστία κομώντων, ἤτοι τῇ κατὰ φιλοσοφίαν καὶ σώφρονι ἢ τῇ τῷ ὄντι μιαρᾷ καὶ διαβεβλημένῃ. ~ ERVU

54 ἐμοὶ μὲν οὕτω παιδεραστεῖν γένοιτο κτλ.] μόγις ποτέ, μιαρὲ καὶ ἐπάρατε, τὸ σαυτοῦ ἐξεῖπας. ἐξώλης καὶ προώλης γένοιο. ~ ER

50. Ὑπὲρ τῶν εἰκόνων.

Κάλλους γυναικὸς ἀπαραμίλλου πλάσιν
πρὸς τοὺς θεαινῶν ἀντισυγκρίνας τύπους

---

4 διάστερος (c. 41) in mg. repetitum E ‖ 5 cf. sch. Pseudolog. 11 ‖ 7 τοῦτο R ‖ 9 τοιαύτη post ἄττιδι V ‖ 15. 16 χαρικλῆς μὲν κορίνθιος V ‖ 17 ὡς ERU; ὁ V ‖ 19 ἀθηνῶν codd. | μῖξις ἀθ. δὲ om. R | ἡ post δὲ add. V ‖ 26sq. versus in margine decurtato bis scripti, et ad tit. et ad c. 2 καίτοι πολλοὺς κτλ.; lacunae invicem supplentur

ἤκουσε κακῶς ὡς ἀπῳδὸν συγκρίνας.
ἀντιλέγει πρὸς ταῦτα κομψοῖς τοῖς λόγοις
δεικνὺς συνῳδοὺς τηλικαύτας συγκρίσεις. ~ φ

Ὁ λόγος οὗτος ἀντιγραφὴ τοῦ εἰς Πάνθειαν τὴν Σμυρναίαν,
γυναῖκα δὲ Οὐήρου τοῦ χρηστοῦ καίσαρος, ἐπαίνου ἐστίν,
ὃν καὶ Εἰκόνες ἐπέγραψεν, ἧς καὶ Μᾶρκος ὁ καῖσαρ ἐν τοῖς
εἰς ἑαυτὸν Ἠθικοῖς [8, 37] *αὐτοῦ μέμνηται.* ~ ERVφU

τά τε ἄλλα κτλ.] *σημείωσαι.* ~ V 4

παρόντων τινὰ προσκύψαντα κτλ.] *ἀστεῖον.* ~ EV

παραπλήσιον δὲ κτλ.] *ἀστεῖον.* ~ E 5

—] *σημείωσαι.* ~ V

καὶ οὐδὲ ὅσας ὀλίγας: εἴληπται μὲν ἀπὸ τῆς Ἀττικῆς
συντάξεως τῆς 'πλεῖστον ὅσον', ἀλλὰ καὶ κατὰ τὸ ἀντίστρο-
φον τῆς συνθέσεως· τὸ γὰρ ἀναφορικὸν προὔταξε καὶ κατὰ
τὸ ἀντικείμενον τῷ ποσῷ· τὸ μὲν γὰρ πλεῖστον ὅσον ἐστί,
τὸ δὲ ὅσας ὀλίγας. ~ ERVφU

πλοκάμους]* *σημείωσαι, ὅτι βόστρυχοι μὲν ἐπὶ ἀνδρῶν,*
πλόκαμοι δὲ ἐπὶ γυναικῶν εὐσήμως ἂν ῥηθείεν. ~
VERCφ

παραθεωρεῖν]* *ἀντὶ τοῦ παραβάλλειν, συγκρίνειν.* ~ 7
VERφ

καὶ γὰρ ἂν καὶ τόδε κτλ.] *σημείωσαι. ἱστορία.* ~ V

Κασσιέπειαν]* *τὴν Κηφέως λέγει γαμετήν.* ~ REVφ

Ἀλεξάνδρου]* *σημείωσαι τὸ ἀκόμπαστον καὶ συνετὸν καὶ* 9
ἐχέφρον Ἀλεξάνδρου. ~ VEU

μηδὲ ὑπὲρ τὸν πόδα ἔσται τὸ ὑπόδημα: παροιμία ἐπὶ 10
τῶν ὑπερτείνειν ἀξιούντων τὰ καθ' ἑαυτοὺς πράγματα, ὃ
ποιεῖν φιλοῦσιν οἱ αὐχηματίαι. ~ CEVφ

κἀκεῖνο δὲ εἰπεῖν κτλ.] *σημείωσαι. χρήσιμον.* ~ V 11

τῶν σωμάτων ἑστάναι κτλ.] *σημείωσαι.* ~ E

---

6 *εἰκόνιας* ex *ες* cr. m2 R | *ἐπέγραψαν* R | *ἧς — 7 μέμνηται* om. V ‖ 17 *σημείωσαι* om. Cφ | *ὅτι* om. R ‖ 18 *εὐσήμως ἂν ῥ.* om. R ‖ 20 cf. sch. Phal. I 8 (Δ). Herod. 8 ‖ 23 cf. sch. Dial. mar. XIV 1

13 ἐν γὰρ τοῖς τοιούτοις κτλ.] ὡραῖον. ~ E
14 ἐκ τοῦ τέως φειδομένου κτλ.] σημείωσαι. ~ V
ἐπεὶ καὶ Φειδίαν κτλ.] σημείωσαι. ὡραῖον σφόδρα. ~ V
15 ῥᾷστον δὲ κτλ.] σημείωσαι. ~ V
17 ἐπαινέσαντος τὸ μέτριον κτλ.] ὡραῖον. ~ ΓV
ὑπερεπαινεῖσθαι ἀποφαίνεις κτλ.] σημείωσαι. ὡραῖον. ~ V
18 περὶ αὐτῶν δὴ τούτων ἐρῶ] ἀπολογήσεταί τις καί, ὅτι οὐ πρὸς τὰς θεὰς αὐτὰς ἀλλὰ πρὸς τὰς αὐτῶν εἰκόνας σύγκρισις τῶν πρωτοτύπων ἐκπιπτούσας πάντως γε καὶ ἄλλως μὲν ἀλλὰ καὶ ὡς τὰ ἄψυχα τῶν ἐμψύχων καὶ τὰ ἐν χρώμασι τῶν ἀληθινῶν. ~ φ
19 λέοντι ἐοικέναι κτλ.] σημείωσαι. ~ V
20 ὀξυηκοώτερον*] σημείωσαι, ὅτι Μελάμπους ὀξυήκοος. ~ VR. Addit R: Λυγκεὺς δὲ ὀξυδερκέστερος. ~
καὶ τὸν Φινέα κτλ.] σημείωσαι. ~ V
συβώτου καλύβης κτλ.] σημείωσαι. ~ V
23 οὐ θεαῖς — δημιουργήμασι λίθου κτλ.] ᾤμην λαθεῖν σε τοῦτο τὸν λογογράφον. ~ φ
24 ὁ μαστίξαι τολμήσας — ὀβελῶν] Ὁμηρομάστιξ Ζηνόδοτος ἐπεκλήθη ὀβελίσας καὶ ἀθετήσας πολλὰ τῶν Ὁμήρου ἐπῶν. ~ K
οὐδ' ὁ τὰ νόθα κτλ.] σημείωσαι. ~ V
25 τὰς εἰκόνας ἐς τὸ κτλ.] σημείωσαι. ~ V
26 τὰς ὁμοιώσεις ἀνεύθυνον κτλ.] σημείωσαι. ~ V
27 εἴ τις θεῷ κτλ.] σημείωσαι. ~ V
28 εἰ μή τινα νομίζῃς κτλ.] σημείωσαι. ~ V

51. *Ψευδολογιστὴς ἢ Περὶ τῆς ἀποφράδος.*

2 μετ' αὐτοῦ κἂν ἓν κτλ.] σημείωσαι. ~ V
3 βελτίων γένοιο κτλ.] σημείωσαι. ~ V

---

9 σύγκριδ φ ‖ 13 σημείωσαι om. V | ὁ post ὅτι V ‖ 14 ὀξυδερκέστατος sch. Dial. mort. IX 1 cet.

οὕτω πάλαι κτλ.] ὡραῖον. ~ Γ
Πυθαγόρας κωλυόμενος κτλ.] σημείωσαι. ~ V 5
ἐντρέψας ἐς μέλος κτλ.] σημείωσαι. ὡραῖον. ~ V 7
ἄρα τῶν* ἐσθιομένων ἢ πινομένων] margine decur- 8
tato scholion periit ~ E
ἀπονοίας τῆς σῆς — c. 11 Γενετυλλίδων] σημείωσαι. 10
ὡραῖα καὶ ξένα. ~ V
Πανδήμου καὶ Γενετυλλίδων* κτλ.] εἰς ἀφροδίσια σκῶ- 11
ψαι βουλόμενος τὸν κακοδαίμονα τουτονὶ τοῖς τοιούτοις
ὀνόμασιν αὐτὸν ὁρκῶσαι διέγνωκεν, ἃ προδήλως τῆς αἰ-
σχρᾶς Ἀφροδίτης ἐστὶν ἐπίθετα. ~ VERφUΔ
Θᾶττον ἂν Ἐρεχθέα κτλ.] σημείωσαι. ~ V
ὁ δὲ λυπάην κτλ.] σημείωσαι. ~ V 16
βάκηλον] βάκηλος λέγεται ὁ μέγας μὲν ἀνόητος δὲ καὶ 17
γυναικώδης. λέγεται δὲ καὶ ὁ ἀποτετμημένος τὸ αἰδοῖον.
εἴρηται δὲ οἱονεὶ βίᾳ κόλος τις ὤν, ὁ βίᾳ καὶ μανίᾳ κόλος
γεγονώς, τουτέστι κολοβός. ~ Δ
ἄχρι δή σε κτλ.] σημείωσαι. ~ V 18
ὡς τὸν τοῦ Σινωπέως κτλ.] σημείωσαι. ~ V 19
ἐχρῆν δευτέραν κτλ.] ὡραῖον. ~ Γ 21
εἷς μόνος ἂν κτλ.] σημείωσαι. ~ V
ἔχιδναν φιλῆσαι κτλ.] ὡραῖον. ~ ΓE 23
—] σημείωσαι. ὡραῖον. ~ V
κακὸν κακῶς σε κτλ.] ὡραῖον. ~ E 24
ἰαλέμων] ἰάλεμος· θρῆνος. ~ R
εὐρῶτος: τοῦ σκώληκος. ~ R
τί φαίης ἂν κτλ.] σημείωσαι. ὡραῖον. ~ V 25
ὡς ὤφελε κἀμέ τις κτλ.] ὡραῖον. ~ V

10 αὐτὸν ὀνόμασιν V | αἰσχρᾶς om. R ‖ 11 εἰσὶν V | cf. sch. Amor. 42 ‖ 16 βιάκολος Etym. ‖ 25 Vat. 942: ὅτι εἶδος θρήνου ἐστὶν ὁ ἰάλεμος. ἔστι δὲ καὶ υἱὸς καλλιόπης. ἔνιοι δὲ τὸν κακοδαίμονά φασι. καὶ ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς λόγου ἄξια. cf. Phot., Hes., Suid., Etym. ‖ 26 τοῦ σκώληκος ex ὁ σκώληξ cr. m2 R

27 ὥστε τό γε ἐπ' ἐμοὶ κτλ.] σημείωσαι. ὡραῖον. ~ V
κισσύβιον: τὸ ἀγροικικὸν ποτήριον. ἴσως ἐκ τοῦ κισσοῦ,
ἐξ οὗ κατεσκεύαζον τὰ ποτήρια τὰ νῦν ἰδιωτικῶς χαλίντζια
καλούμενα, κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυομένων
ποτηρίων ἡ λέξις τίθεται παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν 5
οἶνον, οἷον χύσω χυσίβιον καὶ κισσύβιον. Ἡσίοδος ὀλίγῳ
δὲ ἥδεται κισσυβίῳ'. ~ Δ
βινητιῶν*] συνουσιάζων. ~ Δ
29 θάτερον* τῶν πενήτων] κακῶς γὰρ τὸ θάτερον εἶπεν,
ἐπεὶ μηδὲ ἡ εὐθεῖα θάτερος ἀλλ' ἕτερος· ἀπὸ γὰρ τοῦ ὁ 10
ἕτερος συναλειφθὲν ἄτερος λέγεται καὶ ἄτερον ἡ αἰτιατική·
ἀεὶ γὰρ αὕτη τῇ εὐθείᾳ ἀκολουθεῖ. τὸ δὲ τριῶν μη-
νοῖν προδήλως βάρβαρον, δυικὸν τῷ τριῶν ἐπαγόμενον.
ὡσαύτως δύσφημον καὶ τὸ ἀνηνεμία· τίς γὰρ χρεία τοῦ
στερητικοῦ μηδὲν πλέον τοῦ νη δηλοῦντος; τὸ δέ τοι ἐκ- 15
χύνειν καὶ ἀδιόρθωτον, ἐπεὶ χέω μὲν ἐπίσταται ἡ ἑλλη-
νίζουσα χρῆσις, χύνω δὲ οὐδέπω ἐγκέκριται τῇ Ἑλλάδι
γλώσσῃ, ὥσπερ οὐδὲ τὸ πέταμαι· οὐ γὰρ ἔστι πέτημι
ἀλλὰ πέτω, βαρύτονον, ἀφ' οὗ πέτομαι ἴσως ἂν λεχθείη,
οὗ καὶ ἡ μετοχὴ πετόμενος, ὡς Πλάτων Εὐθύφρονι [4 A] 20
"τί δαί; πετόμενόν τινα διώκεις;" πέταμαι δὲ οὐδαμῶς,
ἀλλ' εἰ ἄρα ἵπταμαι ὡς ἀπὸ τοῦ ἵπτημι, ὡς καὶ ἀπὸ τοῦ
ἵστημι λεχθείη ἂν ἵσταμαι. ~ VERφUΔ et (a lin. 18) C
30 Τισίου τούτου λέγει τοῦ Κόρακος τοῦ Σικελοῦ μαθητοῦ·
τάχα γάρ τι τοιοῦτο καὶ αὐτὸς κατασοφισάμενός τινα πρεσ- 2
βύτην εἰργάσατο. ~ VERφΔ
32 παιπάλημα: ὁ πανοῦργος ἄνθρωπος, κυρίως ὁ ὡσπερεὶ
ἄλευρον τοῖς κακοῖς συναλησμένος καὶ συντετριμμένος.

---

2 ἀπὸ pro ἐκ Etym. ‖ 3 τὰ — 4 καλούμενα om. Etym. ‖ 3 χαλίντζια scripsi; χαλέντνα Δ ‖ 4 ξυλίνων Etym. ‖ 6 οἷον χύω χύσω Etym. ‖ 6. 7 fr. Callimachi est teste Athenaeo XI 477 C (ᾖδετο) 13 δυικῶς τὸ Δ ‖ 16. 17 ἑλληνικὴ V ‖ 17 χύνω — 23 ἵσταμαι om. R ‖ 17 οὐδέποτε Δ ‖ 18 C inc.: ὅτι οὐκ ἔστιν πέτημι ‖ 20 οὕτως pro οὗ C | ὡς καὶ πλάτων CV ‖ 21 τί δαί om. C ‖ 22 ἀλλ' ἢ codd. ‖ 28 συναλιλιμμένος C

νῦν δὲ οὐ τοῦτο βούλεται τῷ γλωσσαλγεῖν τούτῳ δηλοῦν, ἀλλὰ τὸν ὑπὸ τῆς ἀνενδότου μισητίας ὥσπερ ἄλευρον διατεθρυμμένον. κίναιδος δὲ ὅ τε ποιῶν ὅ τε πάσχων, παρὰ τὸ τὴν αἰδὼ κινεῖν. ∼ ERCVφUΔ

52. *Θεῶν ἐκκλησία.*

τονθορύζετε: *ἀντὶ τοῦ ὑπ' ὀδόντα γογγύζετε.* ∼ CVU. 1
Addunt VU: *τονθορύζειν γὰρ τὸ γογγύζειν.* ∼
τὸ οἷς ἐφεῖται διὰ τὰς Θηλείας καὶ τὸν Ἔρωτα· οὐ γὰρ ἐξῆν Θηλείας δημηγορεῖν. ∼ VφU
*μίτραν**] *μίτρα ὁ γυναικεῖος τῆς κεφαλῆς ἀνάδεσμος. λέγεται δὲ μίτρα καὶ προγαστρίδιός τις ὅπλισις ἁλυσιδωτή, τῶν πρὸ τοῦ ἤτρου φυλακή τις καὶ ἀσφάλεια.* ∼ CVφU 4
*ὁ δὲ** *φαλακρός*] *τὸν Σειληνὸν λέγει.* ∼ V
*Ἰκαρίου**] *ὁ Ἰκάριος οὗτος Ἀθηναῖος ἐγεγόνει γεωργός.* 5
τούτῳ φασὶ τὸν Διόνυσον δοῦναι τὸ κλῆμα πρώτῳ, ἀφ' οὗ Ἰκαρία ἡ πρώτη ἄμπελος ὠνομάσθη καὶ ἡ χώρα ἡ ἐνέγκασα τὸ φυτόν. οὗτος ὁ Ἰκάριος ἔδωκε ποιμέσι τοῦ καρποῦ πιεῖν Ἀττικοῖς, οὗ πιόντας νομίσαντας τοὺς λοιπούς, ὅτι τεθνήκοιεν οἱ βαθεῖ τῷ ὕπνῳ διὰ τὴν οἰνοποσίαν κατασχεθέντες, ἀποκτεῖναι τὸν Ἰκάριον νομίσαντας θανάσιμον φάρμακον δεδωκέναι οὐ μόνον τοῖς καθεύδουσιν ἀλλὰ δὴ καὶ τοῖς ἐγρηγορόσι καὶ τῇ μέθῃ βακχεύουσι μανίας ἐμποιητικόν. οὕτω μὲν οὖν τὸν Ἰκάριον ἀποθανεῖν. ἐπεὶ δὲ κατέστησαν ἀπὸ τῆς μέθης, τὸν Διόνυσον χόλον αὐτοῖς ἐμβαλεῖν τοιόνδε· ἐλθὼν γὰρ πρὸς αὐτοὺς ἐν

1 *τούτω βούλ.* E | *τῷ— δηλοῦν* om. C | *γλωσσαλγεῖν* Δ; *γλωσσαλγεῖ* ERV ‖ 2 *ὑπὲρ* C ‖ 6 *ἀντὶ τοῦ* om. C | *ὀδόντος* U; *ὀδόντας* edit. (*ὑπόπτως λαλεῖ κτλ.* Phot.) ‖ 7 *τονθορίζειν* (sed *ύ* in textu) *— γογγίζειν* V ‖ 9 *ἐξὸν* V | fort. *Θηλείαις* ‖ 14 cf. sch. Dial. deor. XXII 2. Dial. mer. VII 4 | C inc.: *ὅτι ὁ Ἴκαρος ἀΘ. ἦν γεωργ.* ‖ 15 *δοῦν. τ. διόν.* R ‖ 16 *ἡ ἱκ. ἡ* C ‖ 17 *ἐνεγκοῦσα* V ‖ 21 *Θανάσιμον* om. R, at cf. etiam sch. Hom. X 29 ‖ 22 *δὴ* om. Cφ ‖ 23 *οὖν* om. C ‖ 24 *τῆς* om. C ‖ 25 *τοιοῦτον* C

σχήματι ὡραίου παιδὸς ἐξέμηνεν αὐτοὺς πρὸς ὁρμὴν μίξεως· καὶ δὴ ἐπιβουλεύειν αὐτὸν διαφθεῖραι. ἀλλ' ὁ μὲν ἀφανὴς εὐθὺς ἐγεγόνει, οἱ δὲ ἅτε δὴ ἐκείνου ὑποσχομένου τὸ καθ' ὁρμὴν αὐτοῖς ἐᾶν ἐκτελέσαι ὡρμήκεσαν ἄχρι κινήσεως καὶ δὴ μεμενήκεσαν οὕτως ἀεὶ ἐκ τῆς ὀργῆς Διονύσου ἀκατάπαυστον τὴν ὁρμὴν ἔχοντες. ἐφ' οἷς ἐξιλασάμενοι τὸν θεὸν τοιαῦτα κατὰ χρησμὸν πεποιηκότες πήλινα σχήματα καὶ ἀνθ' ἑαυτῶν ἀναθέντες ἐπαύσαντο τῆς μανίας. ~ ΓRCVφU

6 οὔτε *Ἀχαιῶν Αἰγιεῦσιν*: *Αἴγιον* καὶ *Ἑλίκη* καὶ *Βούρα* καὶ *Ῥύπαι* καὶ *Πάτραι* πόλεις εἰσὶ Πελοποννήσου, *Πάτραι* μὲν μικρὸν πρὸ τοῦ Κρισαίου κόλπου καταντικρὺ τῶν *Ἐχινάδων* νήσων ὡς πρὸς τὴν ἑῴ, αἱ δὲ λοιπαὶ παραθαλάσσιοι τῆς ἐπὶ *Κόρινθον* φερούσης. *Ἑλίκης* δὲ καὶ τὰ ἐρείπια ἔστιν ἰδεῖν παρὰ τὸν αἰγιαλόν· αὕτη δὲ πᾶσα ἡ πόλις ὑποβρύχιός ἐστι τῇ θαλάσσῃ σεισμῷ πάλαι τοῦτο παθοῦσα. ~ VφU

7 ἑλλόβιον τὸ ἐνώτιον παρὰ τὸ ἐνείρεσθαι τοῖς τῶν ὤτων λοβοῖς. ~ VU

9 *Σαβάζιος — Μίθρης*] ὅτι ὁ *Μίθρας* ὁ αὐτός ἐστι παρὰ *Πέρσαις* τῷ *Ἡλίῳ*. καὶ ὅτι ἄλλος *Διόνυσος* ὁ ἐκ *Σεμέλης* καὶ ἄλλος ὁ *Σαβάζιος* λεγόμενος πρότερος ἐκείνου τοῖς χρόνοις ἐκ *Διὸς* καὶ *Περσεφόνης*· οὗ καὶ τὴν γένεσιν καὶ τὰς θυσίας καὶ τὰς τιμὰς νυκτερινὰς καὶ κρυφίους εἰσάγουσι. λέγουσι δὲ αὐτὸν καὶ τερατίαν γενέσθαι καὶ εἰς δράκοντα μεταμορφωθῆναι καὶ τῇ ἰδίᾳ θυγατρὶ μιγῆναι. ~ Vat. 942

12 *μητραλῴου υἱὸς ὤν*] *Ἀλκμαίωνος γὰρ ἦν υἱὸς τοῦ Ἀμ-*

---

2 αὐτοὺς C ‖ 2. 3 ἐὐθ. ἀφ. CV ‖ 7. 8 C expl.: *θεὸν ποιῆσαι πηλίνους φαλοὺς καὶ αἰδοῖα, ἃ καὶ ἀνέθεσαν αὐτὰ καὶ τῆς μανίας ἐπαύσαντο* ‖ 18 cf. sch. Gall. 29. Lexiph. 9 ‖ 20 scholion lemmate caret; huc rettuli, quia in cod. Vat. 942 insequitur scholion *ὅτι ἀλκμαίων ὁ υἱὸς ἀμαράου τὴν ἑαυτοῦ ἀπεκτονὼς μητέρα κτλ.*, cf. lin. 28 | cf sch. Iov. trag. 8 ‖ 28 C inc.: *ὅτι ὁ ἀλκμαίων τὴν ἑαυτοῦ μητέρα ἀπ. ἐπλ. κ. πᾶσαν γῆν*

φιαράου, ὃς Ἀλκμαίων τὴν μητέρα ἀπεκτονὼς ἐπλανᾶτο κατὰ πάσης γῆς μηδενὸς αὐτὸν διὰ τὸ ἄγος τῆς μητρὸς καταδεχομένου. χρήσαντος δὲ αὐτῷ Ἀπόλλωνος ζητεῖν γῆν εἰς κατοίκησιν, ἥτις οὔπω ἦν τῆς μητρὸς ὑπ' αὐτοῦ κτεινομένης, σκέψασθαι μὴ ἂν ἀλλαχοῦ εὑρεθῆναι ἢ πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἀχελῴου· θολερῶς γὰρ οὗτος ἀεὶ ῥέων καὶ πρὸς ταῖς Ἐχινάσι νήσοις εἰς θάλασσαν ἐκδιδοὺς ὑπωπτεύθη αὐτῷ πρόσχωσιν οὗτος ἐν τοσούτῳ ἐργάσασθαι καὶ γῆν ἀναδεῖξαι, ἥτις ἱκανὴ σῶμα ἀνθρώπου ὑποδέξασθαι μὴ πρότερον οὖσα τοῦ τῆς μητρὸς φόνου· καὶ δὴ πορευθῆναι καὶ κατοικῆσαι τὴν Κατοινιάδα γῆν καὶ ἐξ ἑνὸς τῶν υἱῶν Ἀκαρνᾶνος Ἀκαρνανίαν τὸν τόπον ὀνομάσαι. ~ CVφU

53. *Τυραννοκτόνος.*

ἐς ὑπερβολήν*] ὑπερβαλλόντως. ~ S 4

ἐκεῖνος ἦν ὁ κτλ.] ὡραῖον. ~ Γ 5

ἀλλὰ πάντα εἰρήνης μεστὰ κτλ.] ὡραῖον. ~ Γ 10

τὸ δ' ὑπ' ἐμοῦ γεγενημένον κτλ.] ὡραῖον. ~ Γ 13

νῦν δὲ καὶ τὸν πεφονευμένον κτλ.] ὡραῖον. ~ Γ 16

ἐπιβιῶναι] ἐπεβίω τῷ δεῖνι, δοτικῇ, ἤγουν μετὰ τὸ ἀποθανεῖν τὸν δεῖνα ἔζησεν ὁ δεῖνα τόσους χρόνους. ~ SK 18

54. *Ἀποκηρυττόμενος.*

Μελέτη μεταληπτική, λέγοντος τοῦ φεύγοντος 'ἔξεστί μοι ποιῆσαι τόδε'. ~ K

τέχνη δύναται κτλ.] σημείωσαι. ~ Γ 1

τοῦ θεραπεύσαντος κτλ.] ὡραῖον. ~ Γ

---

5 δὲ post σκέψασθαι ins. φ | εὑρ. ἀλλ. C ‖ 6 θολερὸς V ‖ 7 πρὸς om. V ‖ 10 καὶ δὴ — 12 ὀνομάσαι om. Vat. 942; pro iis praebet: *κἀν τούτῳ οἰκῆσαι καὶ λαβεῖν μίαν τῶν ἀκαρνάνου θυγατέρων καὶ ἐξ αὐτῆς τὸν τόπον ἀκαρνανίαν καλέσαι. γεννῆσαι τε καὶ υἱὸν ἀμφίλοχον καλούμενον· οὗ μαντεῖον ἐν σικελίᾳ ἐστίν* ‖ 12 ὠνόμ C

3 τῶν ἐμῶν — καὶ τὸ φαίνεσθαι] ὠραῖον ὅλον. ~ Γ
ἀρχὴν ταῦτα κτλ.] ὡραῖον. ~ Γ
ἀκροβολισμόν*] ἐρεθισμόν. καὶ ἀκροβόλοι οἱ τοξόται. ~ Δ
4 φιλοκρινούντων*] διακρινόντων, δοκιμαζόντων περιέργως. ~ Δ
τοῖς κεκρατημένοις κτλ.] ὡραῖον. ~ ΓVU
5 ἀλλ' εὐθύς τινος κτλ.] ὡραῖον. ~ Γ
6 παράλογον λέγουσιν ἀρσενικῶς οἵ τ' ἄλλοι καὶ μάλιστα Θουκυδίδης, τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσῃ, οἷον [1, 78] "τοῦ πολέμου τὸν παράλογον" καὶ [cf. 2, 85] 'ὅτι ἐγένετο πολὺς παράλογος'. παραλόγως δὲ τὸ ἀνέλπιστον λέγει καὶ παρὰ προσδοκίαν. ~ Δ
ἐπιπόλαιον*] τὸ πρὸς ὀλίγον φαινόμενον. ~ Δ
ὑποικουροῦν λεληθός τι μῖσος, ἀντὶ τοῦ ὑποτρεφόμενον καὶ ἐνδομυχοῦν. ~ Δ
8 ἀδίκαστον*] ἀνέριστον, δίκαιον, ἀδωροδόκητον. ~ Δ
ἐρήμης] ἐρήμη δίκη, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ. ~ Δ
16 ἀκμή· ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως καὶ ἡ δύναμις καὶ ἡ νεότης. ἀκμὴ δὲ καιροῦ ἡ εὐτυχία. οὕτω καὶ Ἰσοκράτης [2, 33] 'τὸ μὲν τῆς τοῦ καιροῦ τυγχάνειν ἀκμῆς'. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι. ~ Δ
17 ἰσχναίνοντα*] κωλύοντα, κατέχοντα· ἀπὸ ἴσχω, τὸ κρατῶ. ~ Δ
διέσφηλε*] σφαλῆναι πεποίηκεν. ~ Δ
20 ἀπόχρη*] ἀντὶ τοῦ ἐξαρκεῖ φησιν Ἡρόδοτος [1, 66]. ~ Δ
21 κώμους*] κῶμος ἡ μέθη καὶ ἡ ἀπὸ μέθης ἀσέλγεια, ᾠδαί, ὀρχήσεις μετὰ μέθης. λέγεται κῶμα καὶ ὁ ὕπνος καὶ κω-

---

9 προσδοκήσειεν Phot., Suid. ‖ 11 ὁ post πολὺς add. Phot., Suid.; tum Phot.: παράλογος τὸ ἀνέλπ. τὸ π. προσδ. ‖ 13 φερόμενον Δ; cr. ex Suida ‖ 14 Phot.: ὑποικουροῦν λεληθός τι μῖσος· ὑποικουροῦν ἀντὶ κτλ. | ὑποτρεφόμενον Phot.; στρεφόμενον Δ; τρεφόμενον Suid. ‖ 18 καταδιμιτηθῇ Δ; cr. ex Phot. 21 καὶ om. Suid. | σωκράτης Δ; cr. ex Suida

μάζω τὸ ὑβρίζω καὶ κωμαστὴς ὁ τρυφῶν μετ' ᾠδῆς ἀσελγοῦς καὶ κώμυθα δέσμη χόρτου καὶ κωμῳδίαι ὕβρεις, διασυρμοί, ἐμπαίγματα. ∼ Δ

ἀμελῶ*] ὀκνῶ, ἀναδύομαι, βραδύνω. ∼ Δ 22

προνομίαν*] τιμὴν πλείονα. λέγεται προνομὴ καὶ ἡ διαρ- 23
παγὴ τῶν σκύλων. λέγεται προνόμια καὶ τὰ προλήμματα. ∼ Δ

πάμπολυ τοῦ μὴ κτλ.] σημείωσαι. ∼ Γ 26

ἐξαγώνιον*] ἔξω τοῦ ἀγῶνος. ∼ Δ

ἁλισκόμενα*] καταλαμβανόμενα, κρατούμενα ἢ νικώ- 27
μενα. ∼ Δ

εὐηλίῳ καὶ εὐηνέμῳ κτλ.] ὡραῖον. ∼ Γ

εὐπαγῆ καὶ εὔτονα κτλ.] σημείωσαι. ὡραῖον. ∼ Γ 28

ὑποτυφόμενα*] καιόμενα. λέγεται καὶ τῦφος ἡ ἀλαζονεία 30
καὶ τυφομένης ἀντὶ τοῦ καπνιζομένης καὶ τυφὼν οὐχ ἡ φλὸξ ἡ ἐκ τοῦ ἀέρος ἀλλ' ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι, ὡς Πλάτων ἐν Φαίδρῳ [230A]. ∼ Δ

αὖθις ἡ νόσος κτλ.] ὡραῖον. ∼ Γ 32

55. *Περὶ τῆς Περεγρίνου τελευτῆς.*

ἀκούω βοῶντος κτλ.] ὡραῖον. ∼ Γ

ποιητήν*] οὐχ ὅτι ποιητὴς ἦν Περεγρῖνος, διὰ τοῦτο 3
ποιητὴν αὐτὸν νῦν καλεῖ, ἀλλ' ἐπειδὴ τραγικόν τι πρᾶγμα διείργασται μεγάλης συμφορᾶς αἴτιον ἑαυτῷ καὶ οἷα οἱ τραγῳδιοποιοὶ γράφουσι, διὰ τοῦτο καὶ διασκευῆς ἐμνημόνευσε σκηνικοῦ πράγματος καὶ αὐτὸν ποιητὴν εἶπεν ὡς τοιαύτης τραγῳδίας εἰσαγωγέα. ∼ VR

ἐτίλλετο* κτλ.] *Φιλίππου τοῦ γελωτοποιοῦ γελωτοποιότερε,* 6
τί ταῦτα; ∼ R

ἐπυνθανόμην κτλ.] ὡραῖον. ∼ Γ 8

διέφυγε* ῥαφανῖδι] τοὺς μοιχοὺς γὰρ τοιαύτην ἀποτίνειν 9

---

22 νῦν αὐτὸν V ‖ 30 ἀποτείνεσθαι, om. ἔθος, R; ἀποτείνειν C

ἔθος τοῖς παλαιοῖς ποινήν· ἐπὰν γὰρ ἑάλω, μετὰ πολλὰς τὰς ἄλλας τελευτῶντες ῥαφανίδα τῇ πυγῇ τοῦ μοιχοῦ πάνυ ἀδρὰν ἐνεῖρον. ~ VRC

11 τὴν θαυμαστὴν* σοφίαν τῶν Χριστιανῶν ἐξέμαθε] θαυμαστὴ μὲν οὖν, ὦ μιαρέ, καὶ παντὸς ἐπέκεινα θαύματος, εἰ καὶ σοὶ τυφλῷ ὄντι καὶ ἀλαζόνι τὸ κάλλος αὐτῆς ἀνεπίσκεπτον καὶ ἀθέατον. ~ ΓV

θαυμαστὴν* κτλ.] μιαρὲ καὶ ὀλέθριε, ψεύδῃ· οὐ γάρ πως τοιοῦτο ἡμῖν ἔγνωσται περὶ τούτου· ἦ γὰρ ἂν οὐκ ἀπεκρυψάμεθα τοῦτο, πολλοὺς καὶ ἄλλους ἐσχηκότες τοιούτους καὶ οὐδέν τι αἰσχυνθέντες, εἰ πάλιν κυνὸς τρόπον ἐπὶ τὸ ἴδιον ἀπεῖδον ἀπέραμα οἱ μὲν καὶ πάντῃ πρὸς τὴν ἀρχαίαν ἀποκλίναντες δεισιδαιμονίαν ὡς οἷα Πορφύριος ὁ Φοῖνιξ, οἱ δὲ καὶ πρὸς τὸ διάστροφον τῆς καθ' ἡμᾶς ἀπενεχθέντες θρησκείας ὡς Ὠριγένης ὁ Αἰγύπτιος. οὔκουν οὐδὲ τοῦτ' ἂν ἀπεκρυψάμεθα καὶ μάλιστα, εἰ καὶ ἐξηγήσεις τινὰς τῆς καθ' ἡμᾶς ἁγίας συνεκρότησε γραφῆς. ἡ γὰρ καθ' ἡμᾶς σεμνὴ πίστις καὶ ἀμώμητος μηδὲν μικρολογουμένη περὶ τὴν αἱρετικῶν ὀλιγωρίαν, ἔστ' ἂν ἄξιόν τις αὐτῇ ἑαυτὸν παρέχοι, οὐ φθονεῖ τούτῳ τῶν ἑαυτῆς χαρισμάτων παρέχειν· ἐπὰν δὲ τὴν ἑαυτοῦ πάλιν τράπηται, αὐτῇ μὲν οὐδὲν οὕτως τῇ καθαρᾷ ἐλυμήνατο πίστει, αὐτῷ δὲ ἐντεῦθεν οὐδὲ τὸν καρπὸν ἀποβαλλόμεθα τούτου τῶν† τε παρὰ τὰς διεξόδους τῶν θείων ὑδάτων πεφύτευτο, ἔβρυε καὶ ἤνθει, ἀλλ' εἰς ἔλεγχον αὐτοῦ ἐῶμεν καὶ γνῶσιν τοῖς μετ' ἐκεῖνον, ὅτι τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν ἀδικίᾳ κατέσχε. καὶ ὁπηνίκα μὲν γέγονε τῆς καθαρότητος, καὶ ἑαυτοῦ τοιοῦτον

---

1 τοῖς παλ. ἔθος V ‖ 2 τὴν πυγὴν C ‖ 3 ἀδρανῶς C ‖ 9 ἦ R ‖ 12 ἀπίδον R | ἀπέραμα Brinkmann; ἀπέρα μ R ‖ 19 περὶ τ lac. cr. IV litt. τικῶν R ‖ 20 παρέχειν del. Brinkmann ‖ 21. 22 fort. οὐδὲν οὕτος ‖ 22 αὐτο[ι]ν m. rec. R; cr. Brinkmann ‖ 23 ἀποβαλόμεθα, λ sup. m. rec., R | τε ⟨ἀ⟩ Brinkmann ‖ 24 ἤνθη R ‖ 25 ἐῶμεν suspect.

ἤνεγκε τὸν καρπόν· ὅτε δὲ τῆς ζωοποιούσης ἀμπέλου ἐξώθησεν ἑαυτόν, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη καὶ πρὸς πυρὸς ὕλην συναχθῆναι παραίτιος ἑαυτῷ γέγονεν. ~ R

καινὸς Σωκράτης*] κἀντεῦθεν ἔστι μαθεῖν τὸ τοῦ τερατολόγου πλάσμα. τίς γὰρ Χριστιανῶν ἀνάσχοιτο διὰ Χριστὸν κατακλεισθεὶς τῷ τοῦ Σωκράτους σεμνύνεσθαι ὀνόματι; ~ R 12

πεπείκασι γὰρ αὐτοὺς — τὸ μὲν ὅλον ἀθάνατοι* ἔσεσθαι] θνητὴν πρεσβεύοντος τὴν ψυχὴν οὐδεὶς ἡμῖν λόγος πρῶτον μὲν πρὸς ὅλην ἀνθρώπων πίστιν ἀντεξαγομένου, ὅση Ἑλλήνων, ὅση βαρβάρων· ἄλλως τε καὶ οὐδὲ θεμιτὸν ἴσως κτηνώδη ἄνθρωπον καὶ διὰ ταῦτα ἐμπαθέστατα διαβιοῦντα σωφροσύνης τὸ παράπαν ἀσπάζεσθαι δόγματα. λήρει τοιγαροῦν, λήρει, οὐδείς σοι φθόνος τῆς ἐμπληξίας, εἰ μή γε καὶ ὡς ἀναγώγῳ πάντῃ καὶ τούτων ἀτοπώτερα — εἴπερ ἄλλα — ἐπιδαψιλευσοίμεθα. τί γὰρ ἄν τις καὶ δρῴη κακὸν τῷ ὄντι ἀνθρώπιον καὶ λύσσης ἀκράτῳ κατεσχημένον πάθει καὶ πρὸς αὐτὴν ἀπομαχόμενον τὴν ἐνάργειαν; τί δ' ἂν ἄλλο ἢ πρὸς αἴσθησιν, εἰ καὶ μὴ καὶ τούτου ἀποτυγχάνοιμεν, κατεπείγειν ἢ κολάσει καθυποβάλλειν, ἐπάν τις αἰσθήσεως ἄμοιρος ἀναφαίνοιτο; ~ R 13

ἔπεισεν αὐτούς, ὡς ἀδελφοὶ πάντες* εἶεν ἀλλήλων] καί τι τοῦτο τῶν ἀπαισίων, ἐλεεινὲ ἄνθρωπε, μᾶλλον δὲ τίνα οὐχὶ προφαίνοντος τῆς φύσεως ἐπιγνωμοσύνην καὶ πρὸς τὸ συγγενὲς τὴν εὐκταιοτάτην συμπάθειαν. ἢ οὐ τῷ ὄντι καὶ ἀδελφοὶ πάντες ἄνθρωποι ἀλλήλων καὶ ἑνὸς αἰτίου ἐξηρτημένοι; εἴτε γὰρ τοῦ ὑλικοῦ, κοινὸν ἅπασι τὰ κοσμικὰ στοιχεῖα, ἐξ ὧν καὶ συνιστάμεθα, εἴτε τοῦ ὀργανικοῦ, 'μιᾶς μητρὸς ἐκγέγαμεν τῆς φύσεως', ὡς οἱ σοὶ βούλονται

---

3 παραίτιος m 2 R ‖ 7 κατακλεισθεὶς ex τὸν m 2 τῷ ex ὸ m 2 R | σεμνύνεσθαι ex ειν m 2 R ‖ 13 fort. τοῦτο ‖ 17 εἴπερ ἄρα Brinkmann ‖ 20 fort. καὶ del. ‖ 25 προφαίνοῦ R; fort. προφαῖνον ‖ 26 οὐ τῷ scripsi; οὕτως R

Θεολόγοι σύμφωνοι τῇ ἐναργείᾳ τῶν πραγμάτων. εἰ δὲ καὶ ποιητικὸν ζητοίης — εἰ μὴ σοὶ ὡς ἀθέῳ καὶ τοῦτο εἰς λῆρον καταλογίζοιτο —, εὑρήσεις κοινὸν ἁπάντων καὶ δημιουργὸν Θεόν. καὶ τὰ μὲν ἀναντίρρητα πάντῃ, κἂν πάνυ διαρραγείης. σὺ γοῦν ἔοικας εἰς χλεύην τιθέμενος πάντα πρῶτον μὲν ὠμότητα μεταδιώκων καὶ θηριωδίαν καὶ τὸ φιλάλληλον προαναιρεῖν, ἵν' ἧ σοὶ βιοῦν ἀπανθρώπως πάσης μὲν ἐμπιπλαμένῳ ἀνοσίου ἀφροδίτης πάσης δὲ πλεονεξίας καὶ ἁρπαγῆς καὶ τῶν ἄλλων αἰσχίστων οὐδ' ὅλως ἀπεχομένῳ. ~ R

ἐπειδὰν ἅπαξ παραβάντες Θεοὺς μὲν τοὺς Ἑλληνικοὺς* ἀπαρνήσωνται] μιαρὰ κεφαλή, οὓς πρὸ βραχέος ἀετοὺς καὶ ταύρους καὶ χρυσοῦς† θυσιῶν καὶ ὅρμων ἀξίους, ναὶ μὴν καὶ τὸν ἄλλον ὃν κατέχεας λῆρον περὶ τῶν Ἑλληνίων Θεῶν, νῦν τοὺς τοιούτους οὐκ ἀξίους φῆς παραβάσεως; ~ V

Θεοὺς* μὲν τοὺς Ἑλληνικοὺς ἀπαρνήσωνται] ἔτι Θεοὺς ὀνομάζεις, οὓς ὀλίγον ἔμπροσθεν, ἓν γοῦν τοῦτο καλὸν ποιῶν, ἀρκούντως διέπαιξας; ~ R

τὸν δὲ ἀνεσκολοπισμένον* ἐκεῖνον σοφιστήν] Ἀρέθα. τί σοι μεταξὺ μωρολογίας παρεγκύκλημα τοῦτο κατείργασαι, ματαιότατε Λουκιανέ; πλήν, ὥς γε εἰκός, θείαις τῷ ὄντι ποιναῖς ἐλαυνόμενος, καὶ οἵαις καὶ ὅσαις καὶ οὗτοι, οὓς σέβῃ ἀλάστορας δαίμονας, ἐπειδὰν ἀνυπερβλήτῳ δυνάμει τοῦ δι' ἡμᾶς ἄχρι τοῦ ἡμετέρου δι' ἄφατον οἶκτον χωρήσαντος σώματος ἀναλλοιώτως υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ τῆς

---

1 ἐνεργείᾳ R ‖ 3 aut αἴτιον post ἁπάντων add. aut καὶ del. ‖ 6 fort. μεταδιώκειν ‖ 13 ἀετοὺς cod. Voss.; αὐτοὺς V χρυσοῦς V; fort. χρυσοῦν, cf. Iov. trag 2. De sacr. 5; tum fort. ἐκάλεις add. | ὅρμων non intellego; ἑορτῶν (Iov. trag. 18) vix latet, fort. ὀργίων ‖ 14 fort ἀναξίους ‖ 19 fort. καλῶς ‖ 21 κατειργάσαΘ R; fort. κατεργάσασθαι ‖ 23 καὶ ante οἵαις del.? | καὶ οὗτοι — p. 219, 2 ὁμολόγουν, cf. sch. Alex. 38 ‖ 26 καὶ Θεοῦ scripsi (cf. p. 184, 12); καὶ Θεῶ R

πρὸς ἀνθρώπους ἀπηλαύνοντο ἐπηρείας, υἱὸν Θεοῦ καὶ ἅγιον τοῦ Ἰσραὴλ ὡμολόγουν, παραπλησίως καὶ αὐτὸς μέγαν ἄνθρωπον ἀνεκήρυξας τοῦτον, ὃν παιδία † παραινοῖς, καὶ τοῦ ἐμβροντήτου σου στόματος κατετόλμησας. καὶ τοῦτο μὲν οὕτως καὶ χάρις οὐδεμία τοῖς λόγοις, ὅτι μηδὲ τοῖς πονηροῖς δαίμοσι τὴν ἀλήθειαν ἀπαγγέλλουσιν· ἐπιτιμῶνται γὰρ καὶ οὐκ ἐῶνται λαλεῖν· πῶς γὰρ τοῦ ψεύδους ἔγγονοι καθεστῶτες τὸ ἀληθὲς προάγειν συγχωρηθεῖεν; εἰ μή που καὶ βορβόρου τις ἐρῇ τίμιον ἀπορρεῖν μύρον καὶ ἀπὸ σκότους αἴγλην φωτὸς προϊέναι. εἰς δὲ χλεύην ποιούμενος τὸ σωτήριον παντὶ πάθος ἀνεσκολοπίσθαι ὑβριστικῶς τῷ σεαυτοῦ λόγῳ τὸν δῆθεν σοὶ μέγαν ἄνθρωπον παρενείρας ἀκούοις ἂν οὐκ αὐτὸς μόνος, ἀλλ' ὅσοι δὴ τῆς αὐτῆς σοι μανίας ἐντὸς τοῦ σώφρονος ἐκτραχηλιάζονται λογισμοῦ· γέλωτα καὶ μυκτηρισμὸν ποιῇ τὸν ὁλοθρεύσαντα σὲ σταυρὸν αὐτοῖς σεβάσμασι καὶ μακραῖς φλυαρίαις καὶ μιαροῖς ἔθεσιν. εἶτα τί φῄς; πότερον σταυρὸς καὶ πάθος ἑκούσιον γέλωτα ὀφλήσει τοῖς σώφροσιν ἢ γυναικῶν μεμηνυιῶν ἀφροδίσιον μανίαν ἀνασυρμοὶ καὶ ἀσχημοσύνης εἰς τὸ ὕπαιθρον δεῖγμα, ἃ καὶ ἡ φύσις αὐτὴ δημοσιεύειν ἐγκαλυψαμένη τόποις τοιούτοις εἰς τὸ ἀπόρρητον ἐγκαθίδρυσεν; ἢ οὐκ οἶσθα τὴν Βαυβὼ καὶ ὅσα σοι τὰ Ἐλευσῖνι μυστικὰ μᾶλλον δὲ μυσαρὰ ὑποβάλλει θεάματα; τί δ' ἄν, εἰ λέγοιμι τῆς πολιούχου Κορίνθου τὰς αἰσχίστας καὶ ἐναγεῖς τελετάς, αἷς ἡ τοῦ Θήλεος αἰδὼς καθυβρίζετο, ἢ τῆς ἐν Σάϊ τῶν Αἰγυπτίων ἀνεόρτου ἑορτῆς τὸ ὑπερβάλλον ἀκάθαρτον; καὶ ἐπειδὴ Αἴγυπτος τῷ λόγῳ παρήχθη, ἆρά σοι διᾶραι στόμα τολμᾶται τῷ κυνοπροσώπους Θεοὺς ἐννοου-

---

3. 4 παρένοῖς, m 2 sup. αι, R ‖ 10 εἰς Brinkmann; οἷς R ‖ 12 σεαυτ$_{ι}$οῦ ex ῶ m 1$_{ι}$ R ‖ 14 fort. ἐκτραχηλίζονται ‖ 16 αὐτοῖς scripsi; αὐτοὶ R ‖ 18 ὀφλήσει R ‖ 20. 21 δημοσιεύειν ἐγκαλυψαμένη i. q. erubescens publice monstrare? ‖ 22 βαυὼ R ‖ 24 λέγοιμι ex λέγημο m 1 R ‖ αἰσχίστους R ‖ 25 Θήλεως R ‖ 26 σάϊ ex σάη R ‖ 28 cf. Iov. trag. 42. De sacr. 14

μένῳ καὶ τοὺς αἰλούρους καὶ τὰς ἴβεις καὶ τοὺς σεμνοὺς κροκοδείλους καὶ τὸ πάντων ἀτοπώτερον τὰ κρόμμυα, ἃ εἰς θεοὺς ἀναφέρεται, καὶ ἐπὶ πᾶσι τὸν ὕπατον ὑμῶν Δία φόβῳ τοῦ ἐπαναστάντος ὀλέθρου εἰς κριὸν τὸ εἶδος ἀντ-
αλλαξάμενον; βαβαί· ὁ τὸ πᾶν σοι τοῦ κράτους ἀποφερό-
μενος "πατὴρ ἀνδρῶν τε θεῶν τε" κριοῦ διασῴζεται εἴδει καὶ βόσκημα αὐτῷ τὴν ἀπολύτρωσιν πραγματεύεται. σιγῶ τὴν Προμηθέως ἐπὶ Καυκάσῳ προσήλωσιν — οὐδὲ γὰρ τοῦ ἑκουσίου προσέχεται —, Σεμέλης τὸν κεραυνόν, Ἡφαί-
στου τοὺς ἐπὶ τῷ Ἄρει δεσμούς, οὗ ἡ μοιχεία κατήγορος, τἄλλά τε πάντα καὶ ἀτοπώτερα, ἵνα μὴ καθ' ἕκαστον διεξ-
ιὼν χραίνω καὶ γλῶσσαν καὶ ἀκοὰς τοιούτοις σεβάσμασι προσανέχων, ἐπιτριπτότατε. ἀποφθάρηθι ἀφ' ἡμῶν καὶ κατάδυθι λόγους προάγων ἀλλ' ἐγγὺς ἀτοπωτάτως. ὁ μὲν γὰρ σταυρὸς ἀνδρείας σημεῖον καὶ ὅσον ἄρξασθαι καὶ τέλος τοῦ κόσμου παντὸς σωτήριον καὶ ἀνάκλησις καὶ τῆς καθ' ὑμᾶς αἰσχρότητος ἀπαλλαγὴ καὶ καθαίρεσις, τὰ δὲ τῶν θεῶν ὑμῶν πάθη καὶ ἐκ παθῶν καὶ ἀκρασίας καὶ ταῦτα θεῶν ἐναρχόμενα καὶ πρὸς τὰ ὅμοια πάθη τοὺς τεθηπέναι ἀνεχομένους παρακαλοῦντα καὶ πρὸς τὴν ἄλογον βιοτὴν τοὺς ἀνθρώπους ὑποσπῶντα καὶ καταβάλλοντα. ∼ R

κοινὰ ἡγοῦνται ἄνευ τινὸς ἀκριβοῦς* πίστεως τὰ τοιαῦτα παραδεξάμενοι] καὶ τίνος ἀκριβεστέρας δεήσεται πίστεως τὸ ἀφ' ἑαυτοῦ τῇ ἐνεργείᾳ ἰσχῦον καὶ πᾶσαν ἀπόδειξιν κατόπιν ποιούμενον ἑαυτοῦ; ἢ οὐ καὶ σοὶ ἡ ἀκτησία καλὸν καὶ τοὺς μετιόντας αὐτὴν οὐ διὰ θαύματος ἄγειν; εἰ μή που, ὅπερ ἔστι, τῆς ἀνθρωπίνης ἐκβέβλησαι φύσεως. ∼ R

---

2 το ex τω R | κρόμνα R ‖ 3 ἀναφέρετε R ‖ 6 διασώζετε εἴδ⌊ει ex η⌋ R ‖ 9 fort. τοῦτο ἑκούσιον προσδέχεται (respicit ad p. 219, 18) | προσέχ$^{\epsilon}_{\eta}$ R ‖ 10 οὗ scripsi; ὧν R ‖ 14 exsp. προ-
άγων οὐχ ὅτι ψευδεῖς ἀλλ' ἐγγὺς ἀτοπωτάτους ‖ 16 fort. ἀνα-
καίνωσις ‖ 17 τὸ δὲ R ‖ 23 τίνας R ‖ 24 fort. ἐναργείᾳ | ἰσχύ$^{ο}_{ω}$ν R ‖ 26 ἀκτισία R ‖ 27 ἄγεις scripsi; ἄγειν R

*Παριανῶν**] *Παριανός, ὡς ἔοικε, Περεγρῖνος ἀπὸ Πάρου* 14
τῆς νήσου. ~ RV

*τοῦτο** *ὡς ἤκουσε κτλ.*] *ἀπόλοιο, κατάρατε καὶ πάσης* 15
ἀρετῆς σκῶπτα καὶ διαβολεῦ. ~ R

χρόνον μέν τινα κτλ.] *οὐκ αἰδῇ, ταλάντατε, τοῖς αὐτοῖς,* 16
οἷς καὶ αὐτὸς ἑάλως, τούτοις καὶ Περεγρῖνον διασύ-
ρων; ~ R

*τῷ βασιλεῖ**] *Βῆρον ἢ Μᾶρκον Ἀντωνῖνον οἶμαι λέγει.* ~ 18
RV

*Μουσωνίῳ** *κτλ.*] *Κυνικοὶ καὶ οὗτοι ἢ καὶ ἄλλως φιλό-*
σοφοι ἐλέγχειν ἔργον πεποιημένοι. Ἐπίκτητον μὲν οὖν
Στωικὸν οἶδα, Δίωνα δὲ τὸν Προυσαέα, ᾧ καὶ ἐπώνυμον
ὁ Χρυσόστομος, ὃς καὶ λόγους ἐκδέδωκεν ἱκανῶς σπου-
δαίους τῷ ὄντι καὶ παντοίας ὠφελείας μεστούς. ~ RCV

*πατραλοίας**] *καὶ πῶς, εἰ πατραλοίας Περεγρῖνος, οὐκ* 21
ἀντενεκλήθη παρὰ τῶν Παριανῶν τὴν πατροκτονίαν, ἀπαι-
τουμένων τῶν διὰ τὴν πατροκτονίαν ὡς ἔφης [c. 15]
ἀφειμένων τούτοις ἀγρῶν; ὁρᾷς, ὅπως εἰς πάντας συκο-
φαντεῖν ἑτοιμότατος παρεσκεύασαι, πάσης ἀρετῆς σκῶπτα
καὶ διαβολεῦ. ~ RV

καόμενόν φησι κτλ.] *σημείωσαι.* ~ Γ 25

*οὐκ ἀπ' ἐλπίδος** *κτλ.*] *οὐ γὰρ ἀνέλπιστον φῆς μὴ ὑπο-*
μένοντα τὴν φλόγα ἐξάλλεσθαι ταύτης· ἀνθ' ὧν καὶ βα-
θυνθῆναι τὸ τῆς πυρᾶς μεσαίτατον παρασκευάσει, ὡς μηδὲ
βουληθέντι ῥᾴδιον ἐκπηδῆσαι. ταῦτα δὲ βούλεται Λου-
κιανὸς ληρεῖν, Βραχμᾶνας μὲν ἑκόντας καὶ καρτερικώτατα
ἀποφαίνων πυροπολεῖσθαι, Περεγρῖνον δὲ οὐ πάντῃ κατὰ
τὸ ἑκούσιον ἀλλὰ καὶ πρὸς ἀνάγκην, εἴ γε τὸ ἄφυκτον
ἑαυτῷ περιποιεῖται τὸ ἀπὸ τῆς φλογός. ~ R

---

10 *ὅτι μ. καὶ δ. καὶ ἐ. κυνικοὶ κτλ.* C | *ἢ καὶ ἄλλως* V; *καὶ* om. RC ‖ 11 *ἔργω* C | *οὖν* om. C ‖ 13 *ἱκανοὺς* V ‖ 15 sch. ad c. 16 (*εἰ τῆς** *πόλεως ἀντιπρ.*) rel. V ‖ 18. 19 *ἀγρῶν ἀλλ' εἰς πάντα συκοφαντεῖς πάσης κτλ.* V ‖ 28 *εἰ'* scripsi; *ἢ* R

36 ὁ ἐκ Πατρῶν*] τὸν Θεαγένην λέγει. ἐκ Πατρῶν δὲ τῆς Πελοποννήσου. ~ VR

41 ποίας* μὲν οὖν μελίττας κτλ.] ἐντρύφα, κατάρατε, καὶ ἐμφοροῦ τῆς πατρίας καὶ εἰωθυίας ὑμῖν τοῖς Ἕλλησι πλαστολογίας. ~ R

42 Πρωτέως*] Πρωτεὺς μὲν τάχα καὶ συγγνωστός, εἰ καὶ ψυχρᾷ τῇ συγγνώμῃ, οὕτω τὸν βίον ἀπολιπών, σὲ δὲ τίς τοῦ τρόπου ἀγάσεται λόγον μὲν ἐμπορευσάμενον οὕτω προχείρως ἐκγεγονότα τινί, ὕθλοις δὲ καὶ μωρολογίαις τοῦτον ἐσπαθηκότα; ~ V

56. *Δραπέται.*

9 ἑπτά*] ⌊τοὺς ἑπ⌋τὰ λεγομένους σοφούς, ⌊Πιττ⌋ακόν, Βίαντα, Θάλητα, ⌊Περ⌋ίανδρον, Κλεόβουλον, ⌊Χε⌋ίλωνα, Σόλωνα. ~ R⌊B⌋V

ἐκ Σάμου Πυθαγόραν τὸν Μνησάρχου, ἐξ Ἐφέσου Ἡράκλειτον, ἐξ Ἀβδήρων Δημόκριτον· ἄμφω δὲ φυσικὼ φιλοσόφω ἤστην. ~ BRV

12 σκυτεύειν ἢ τεκταίνειν — κατεῖδον] σημείωσαι. ὡραῖον ὅλον. ~ Γ

καὶ εὐμήρυτα — ἐκεῖναι] σημείωσαι. ~ V

14 καὶ πήραν ἐξαρτήσασθαι κτλ.] ὡραῖον. ~ Γ

15 καὶ ἦν μὲν κτλ.] σημείωσαι. ~ Γ

16 οἷον τὸ φυλακτικὸν κτλ.] σημείωσαι. ~ Γ

19 Γναθωνίδην* κτλ.] κολάκων οἱ περιφανέστατοι οὗτοι. ~ VBRC

20 τῇ πήρᾳ τῇ Κράτητος κτλ.] σημείωσαι. ~ Γ

26 Κτήσωνας κτλ.] μιαρὲ ὀνοματοθέτα. ~ B

27 ἆρα ἂν ἔχοιτε κτλ.] ὡραῖον. ~ Γ

---

4 πατρ⌊ώ ex *ί* m. rec. ⌋ας R ‖ 7 ψυχρὰ V ‖ 8 οὕτω Solanus; οὐ τὸν V ‖ 13 χίλωνα V (Χείλωνος sch. Phal. I 7) ‖ 24 ὅτι γναθωνίδης καὶ στρουθίας κολάκων ἦσαν οἱ περιφ. C

*εἰς τὸ Λακωνικόν**] *ἀντὶ τοῦ εἰς τύπον Λακωνικόν.* ~ BRK

παπαῖ, τὰ ἡμέτερα οὗτοι ζητοῦσιν] *δεσπόται τῶν ἀνδραπόδων τῶν ἐκ δούλων εἰς Κυνικοὺς παραβυσάντων ἑαυτούς.* ~ BR

*πῶς** κτλ.] *οἱ ἅμα Ἑρμῇ καὶ τῇ Φιλοσοφίᾳ.* ~ B

Παφλαγονικὸν κτλ.] *ὡς ἔοικε, πανταχοῦ Παφλαγόνες εἰς μωρίαν τὸ εὐδόκιμον ἀποφέρονται.* ~ ⌊B⌋R

57. *Τόξαρις ἢ Φιλία.*

οὐκ** *ἂν φθάνοιτε κτλ.*] *ἀντὶ τοῦ τάχιστα ἂν πάντας ἐπὶ τὰ ὅμοια παρακαλέσητε.* ~ VRφ 2

μέχρι μὲν κατ' οὖρον κτλ.] *καὶ πρῶτον μὲν ἐπεπόλαξε τὸ κακὸν τοῦτο ἀνθρώποις, οὐ μέντοι γε καὶ ὡς νῦν, ὅτε μηδὲ ἑαυτῷ τις σύμφωνος ἢ τὰ ἀγαθὰ βουλόμενος, μὴ ὅτι γε κακῶν ἐν ἀδοκήτοις περιστάσεσι συνδιαφέρειν τῷ φίλῳ τὴν ἐπήρειαν ἕλοιτό τις· οὕτως ἀπανθρώπως καὶ θηριωδῶς διαβιώσκειν τῇ νῦν κέκριται γενεᾷ καὶ φιλαύτως ἢ φιλοθέως, καὶ τοῦτο ἐκεῖνο τὸ ὑπὸ τοῦ κυρίου* [Matth. 24, 12] *διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἡ τῶν πολλῶν ἐψύγη ἀγάπη.* ~ R 7

*ἐκτραχηλίσασα**] *τὸ ἐν τῇ συνηθείᾳ παιζόμενον ἐκδείρασα.* ~ BRCVφ 14

*οὐκ ἀνῆκεν ἐκ τῶν ὀνύχων**] *ὡς ἐπὶ ἄγρας ἱεράκων ἢ ἀετῶν μετῆλθε τὸν λόγον.* ~ BRVφ

*καί μοι** *ἐπ' ὀφθαλμῶν κτλ.*] *διατύπωσις αὐξητικὴ τοῦ πάθους.* ~ V 20

*ἐν τοσούτῳ**] *ἀντὶ τοῦ ἐν τῷ μεταξύ.* ~ Vφ 22

---

1 *λακωνικόν* R; *λακωνικοῦ* BK ‖ 5 *αὐτούς* B ‖ 7. 8 *οἷς μιαρία* B ‖ 11 *παρακαλέσητε* V, cf. sch. Vit. auct. 26. Apol. 11; *παρακαλέσαιτε* R ‖ 12 *πρῶτον* suspect. ‖ 14 *ἢ* R ‖ 17 *ἢ* suspect. (nisi forte pro *μᾶλλον ἢ* positum) ‖ 27 *χρόνῳ* add. sch. Pisc. 21

27 συνεκπλεύσας — σοφιστῇ] σημείωσαι σύνταξιν θαυμασίαν. ~ R
37 ἐφεῖται δὲ τὸ μέγιστον κτλ.] σημείωσαι. ~ V
39 ἔφοδον αὐτῶν — περιηλαύνετο] ὡραῖον ὅλον. ~ Γ
44 ὑπερήμεροι: ἐπὶ πάσης παραπροθεσμίας λέγεται. ~ VCφ
46 ὀγδοήκοντα καὶ πρόβατα κτλ.] ὡραῖον. ~ Γ
48 περὶ τὴν βύρσαν οὕτως κτλ.] σημείωσαι. ~ Γ
54 ἱππεῦσιν ἀθροισθέντες — ἅπαν] ὡραῖον ὅλον. ~ Γ
62 ἐπεὶ δὲ καὶ σὺ — τρεῖς φίλοι] σημείωσαι. ὅλον χρήσιμον. ~ Γ

58. *Δημοσθένους ἐγκώμιον.*

Ἐντ⌜αῦθ⌝' Ὁμήρῳ συγκρί⌜νει⌝ Δημοσθένην
καὶ ⌜δείκ⌝νυσι μέγιστον εἰς ⌜ῥή⌝τρας χάριν.
καί ⌜τὸν⌝ βίον δὲ σεμνύνει ⌜Δη⌝μοσθένους
ἐν δια⌜λέξ⌝ει τοὺς ἐπαίνους εἰσφέρων. ~ ⌜φ⌝

1 ἀμέλει] πάντως. ~ φ
2 πρότερον*] ἡ πλεονάζουσα φράσις αὕτη συνήθης Ἀττικοῖς, καὶ ποτὲ μὲν ὡς ἀπὸ πρώτου προσώπου δραματικῶς, ποτὲ δὲ ὡς ἀπὸ τρίτου ἀφηγηματικῶς, ὅπερ πολὺ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ ἔστιν εὑρεῖν. ~ BRU
εἰ*] εὐκτικόν. ~ B
3 πέπονθας τὸ τὸν δόλιχον νενικηκότος] δύναται καὶ ⌞τὸ τοῦ δόλιχον νε⌟νικηκότος' εἶναι ⌞καὶ 'τὸ τὸν δόλιχον⌟ νενικηκότος' ἀ⌞ ⌟χρεία. ἀλλ' ἐπεὶ ⌞τὴν περιττό⌟τητα τῶν ἄρθρων ὑποστέ⌞λλεσθαι εἰώ⌟θασιν Ἀττικοί, ἐν τῶν ⌞δύο ἀνάγ⌟κη περιελέσθαι· συνυ⌞πακούεται γὰρ⌟ τὸ λοιπόν.

12—15 suppl. ex cod. Voss. ‖ 17 ad c. 2 εἰς* τὴν ποίησιν relat. R, ad c. 1 ἦ* δ' ὅς (fort. recte) Guelf. ‖ 22 sic B in textu; in mg. m. post. τοῦ ‖ 23 τὸ τοῦ scripsi; τοῦ τὸν Uφ | εἶναι om. φ; εἶναι — 24 χρεία om. U ‖ 24 ἀ, tum prior linea litterae λ, ut vid., B | ἀ — χρεία om. φ | ἀλλὰ (om. ἐπεὶ) U ‖ 26 παρεκλέγεσθαι U

εἰ μὲν γὰρ ‘τ⌊ὸ τοῦ⌋ *νενικηκότος*’ *εἴη, λεί⌊ψει τὸ τόν⌋ συνυπακουόμενον καὶ ἔσται ⌊οὕτως ‘καὶ πέπονθας τὸ τοῦ νενικηκό⌊τος τὸν δόλιχον⌋’· ὃ καὶ φαυλότερον· εἰ δὲ ‘τὸ τὸν δόλιχον νενικηκότος’, ἐλλείψει ⌊τὸ τῆ⌋ς γενικῆς ἄρθρον συνυπακουόμενον ⌊οὕτως⌋ ‘καὶ πέπονθας τὸ αὐτὸ τοῦ νενικηκότος τὸν δόλιχον’. ἐγκριτώτερον δὲ ἔσται τοῦτο τοῦ προτέρου, καθότι φίλον Ἀθηναίοις τῶν ἄρθρων ἐλλειπεστέρας τὰς πτώσεις προφέρεσθαι· αὐτοὶ γὰρ ‘ἀφικόμην’ φασὶ ‘πρὸς βασιλέα’ καὶ ‘προσῆλθε βασιλεῖ.* ∼ ⌊B⌋φU.

Addit B: *καὶ ἐπ᾽ ἄλλων πλείστων ὡσαύτως. εἰ δέ τις ἀξιώσει ἐλλεῖψαι τὸ τό, ἀλλ᾽ οὐ τὸ τοῦ, λέληθεν ἑαυτὸν τοῦ παντὸς ἁμαρτάνων· τὸ μὲν γὰρ ἀσαφέστερον καταστήσεται τὸν λόγον, παρόσον τοῦ πράγματός ἐστι σημαντικόν, φημὶ δὲ τὸ τό· τοιοῦτο γάρ ἐστιν, ὡς καὶ φθάνομεν παραθέμενοι, ‘καὶ πέπονθας τὸ αὐτὸ τοῦ νενικηκότος τὸν δόλιχον’· οὕτω γὰρ μετατιθέμενον εὑρίσκεται· ὥρα γάρ, ὅτι τὸ τό τὸ πρᾶγμα σημαίνει, τὸ δὲ περικαλλέστερον ἀπὸ τοῦ ἐνδέειν τὸ κάλλος ἐκπεπορισμένον.* ∼

ἥδομαι δὲ καὶ πάθη κτλ.] *σημείωσαι. ὡραῖον.* ∼ Γ 6

διαρκεστέρῳ δὲ τόνῳ] *ὅτι κατὰ τοῦτο κρείττων Ὁμήρου* 7 *Δημοσθένης.* ∼ RφU

μεταξὺ κτλ.*] *οἷον πεποίηκε* [Hom. Z 119 sq.] *τὸν Διομήδην τῷ Γλαύκῳ ὀργώσης ἤδη τῆς μάχης διεξοδικῶ ἀναγνωριζόμενον τῷ λόγῳ.* ∼ RφU

παρισώσεων κτλ.*] *τῷ κεκαλλωπισμένην ἔχειν τὴν φρά-* 8 *σιν.* ∼ Δ

Ἰσμηνὸν κτλ.] *ἀρχαὶ ταῦτα τῶν Πινδάρου τοῦ μελοποιοῦ* 19 *ὕμνων* [fr. 29 Bergk]. ∼ φU

κἀκ τῶν φορημάτων κτλ.] *σημείωσαι.* ∼ Γ 21

---

1 *νενικηκότος* om. U | *λείψει* U; *λείπει* φ | *τὸ τό* Uφ ‖ 1. 2 *συνυπακουόμενον* om. U ‖ 3 *τὸν* om. φ | *καὶ συνυπακούεται γὰρ τὸ τό* ante ὃ add. U ‖ 4 *νενικηκότος* B; *εἴη* φU ‖ 22 cf. sch. Phal. I 1 fin. | sic RU; *πεποίηκε γὰρ ὅμηρος τὸν* inc. φ | *τὰ διομήδους* U ‖ 23 *διεξωδικῶς* U ‖ 27 *τῶν τοῦ π.* U ‖ 28 *λόγων* U

32 τὰ γάρτοι καλὰ κτλ.] σημείωσαι. ~ ΓΔ

ἀλλ' εἰ δή τινα πάντων κτλ.] τὸ ἑξῆς οὕτως· ἀλλ' εἰ δή τινα θαυμάσας Δημοσθένην εἶχον· ἀπὸ κοινοῦ γὰρ τὸ θαυμάσας. ~ RΦU

κρότῳ κτλ.] θαυμασίως ἤθροισται πάντα κράτιστα Δημοσθένους καὶ ἐν βραχεῖ τῷ εὐμνημονεύτῳ περιποιούμενα καὶ μηδὲ τῷ σαφεῖ διὰ τὴν συντομίαν λυμαινόμενα. ~ R

34-36 καὶ τοὺς μὲν ἔξω κτλ.] τεχνικώτατα πάνυ τὰ ἀπὸ τῶν ὑπομνημάτων εἰς ἐγκώμιον Δημοσθένους παραληφθέντα διεσκεύασται. ~ R

38 μιᾶς γε ταύτης ἡμέρας κτλ.] ὡραῖον. ~ Γ

39 εἴ τινας ἢ τῶν Ἀθηναίων πόλις ἀνταποστέλλοι τῇ πρεσβείᾳ] τοῦτο ῥᾳδιούργημα λόγων, εἴ τι χρὴ Αἰσχίνῃ τῷ συμπρεσβεύσαντι πείθεσθαι. ~ R

43 παρὼν εἶναι: παρέλκει τὸ εἶναι. ἐπισκοπητέον δέ, εἰ ὅμοιον τῷ ἑκὼν εἶναι· ἐκεῖνο γὰρ μετ' ἀπαγορεύσεως τάττεται, οἷον 'οὔποτ' ἂν ἐγὼ ἑκὼν εἶναι πεισθείην'. ~ RU

οὐ γάρτοι σμικρὸν κτλ.] γνώμη. ~ R

50 ὀπαδός τις δαίμων κτλ.] τὴν ἰσάγγελον πολιτείαν παρεισάγει ὁ ἀλιτήριος. ~ Δ

59. *Πῶς δεῖ ἱστορίαν συγγράφειν.*

2 πόλεμος*] τὸ τοῦ Ἐμπεδοκλέους νεῖκός φησιν ἤγουν τῶν ἐναντίων τὴν συνδρομήν. ~ Δ

4 κωμικὸν* δορυφόρημα] τὸ κωφὸν προσωπεῖον. ~ Δ

καὶ μάλιστα οἷον τοὐμὸν κτλ.] ὡραῖον. ~ V

5 τῷ αὐτῷ πήχει: παροιμία ἐπὶ τῶν ὑπὸ τινῶν μὲν ἐπανορθώσεως τυγχανόντων, μένειν δὲ ἀναγώγων προαιρουμένων. ~ ΔEVφ

---

2 οὕτως ἀλλ' om. φ ‖ 3 καὶ δημοσθένην φ, cf. Luc. ‖ 5 πάντα κράτιστα suspect. ‖ 14 πύθεσθαι R ‖ 16 τὸ ἑκὼν U ‖ 16 cf. sch. De merc. cond. 2 ‖ 24 κενὸν Δ; correxi ex p. 102, 8; cf. Etym.

ἀπομνημονεῦσαι ἔνια: αἰτιατικὴ ἀντὶ γενικῆς. ~ EV 7
—] ὅρα τὸ ἀπομνημονεῦσαι αἰτιατικῇ συντασσόμενον, γενικῇ μᾶλλον ὀφεῖλον συντάσσεσθαι. ~ φ
ἀνασπάσας αἰωρῇ κτλ.] ὡραῖον. ~ V 8
ἀλλὰ κἂν Ἀγαμέμνονα κτλ.] ὡραῖον. ~ V
κιβδήλῳ] κίβδηλον· οὕτως ἐκάλουν τὸ νόθον ἢ ἀδόκιμον 9
νόμισμα καὶ παρακοπέν. Νόμων ια΄ ‘ὁ μὲν δοῦλος φερέσθω τὸ κιβδηλευθέν’ [Plat. leg. XI 917 D]. κίβδηλον μέν ἐστιν, ὅταν ἔχῃ ἐπιφάνειαν ὡς ἀστεῖον, ἔστι δὲ μοχθηρὸν
τῷ τρόπῳ. ~ Δ
Νικόστρατον*] ἔοικε Νικόστρατος οὗτος ἀθλητὴς εἶναι κατ’ ἐκεῖνο καιροῦ γενναῖος μέν, ἄλλως δὲ τὸ πρόσωπον πονηρὸς καὶ τὸν Μιλήσιον Ἀλκαῖον τὸν καλὸν μὲν ἀνάλκιδα δὲ ἔχειν ἐρώμενον. ~ RE
προσέτι γε ἀκροασαμένους κτλ.] ὡραῖον. ~ V 10
ὁμοίαν αὐτὴν κτλ.] σημείωσαι. ~ EV
Ὀμφάλη*] ὄνομα γυναικός. ~ Δ
ἀνάρμοστον] ἀπαίδευτον, ἀνόητον. ~ Δ 11
Θωπείαν] Θωπεία κολακεία, καὶ Θῶπες οἱ πάντα μετὰ
ψεύδους καὶ θαυμασμοῦ προσιόντες ἐπὶ κολακείᾳ. ~ Δ
ἀκούσας τὸν αὐτὸν κτλ.] ὡραῖον. ~ V 14
ἐμμελής] συνετή, εὔρυθμος. ~ Δ
ἐγκώμιον*] ἔνδημον· κῶμοι γὰρ τὰ τοῦ δήμου συστήματα. ~ Δ
τοῦ φροιμίου] τοῦ προοιμίου. ~ Δ
αἴρειν τὰ κτλ.] ἀστεῖον. ~ E
ἐγὼ* γοῦν θάπτοντα κτλ.] οἷος πανταχοῦ τῷ γελοίῳ 15
ἐνευδοκιμῶν ὁ κατάρατος οὗτος. ~ REΔ
βωμολοχικά] βωμολόχος ὁ περὶ τοὺς βωμοὺς λοχῶν ὑπὲρ 17
τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. μεταφορικῶς δὲ καὶ ὁ παραπλησίως τούτῳ ὠφελείας ἕνεκέν τινας κολακεύων. καὶ

---

6 καὶ pro ἢ Phot. ‖ 9 ἦ pro ἐστι Phot. ‖ 11 ὁ νικ. R ‖ 19 μετὰ πάντα Δ ‖ 22 ἀμελὴς in textu Δ; ἐμμελὴς Luc. vulg. ‖ 31 τινὰ Etym. | ὅθεν καὶ Etym.

βωμακεύματα καὶ βωμολοχεύματα. Ἀπολλόδωρος Κυρηναῖος ὁ εὐτράπελος καὶ γελωτοποιός. τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα καὶ τὸν πανοῦργον καὶ συκοφάντην. ~ Δ

20 ἄρτι κληρονομήσαντι τοῦ δεσπότου: Ἀττικὴ ἡ σύν- 5
ταξις· τὸ γὰρ ἐπὶ μέρους λέγειν Ἀττικόν· αὐτοὶ γὰρ ἔφαγον' φασὶ 'τοῦ ἄρτου' καὶ 'κατέαγα τοῦ κρανίου'. ~ ERVU

ἔτνους*] ἔτνος πᾶν ὄσπριον ἐρειχθέν. ~ RECV

ἐμβοήσαντος μόνον κτλ.] σημείωσαι. ~ V 10

21 Σατουρνῖνον*] Σάτουρνον γὰρ Ῥωμαῖοι τὸν Κρόνον λέγουσιν. ~ VECφΔ

22 ὄτοβος: ὁ μετὰ ἤχου κρότος καὶ θόρυβος καὶ ψόφος. ὡσαύτως καὶ κόναβος. ~ Δ

23 ὤδινεν ὄρος: ἐπὶ τῶν μεγάλως ἀμαθαινόντων τὸ ἐπί- 15
φθεγμα. ~ CEVΔ

οἰσυίνη: ἐκ λύγων πεπλεγμένη. ~ ERΔ

ναννώδει] τὸ νάννος ἐπὶ τοῦ μικροῦ εἴωθε λαμβάνεσθαι.~Δ

24 παρασάγγας] παρασάγγαι εἶδος μέτρου Περσικοῦ, ὅ ἐστι στάδια τριάκοντα. ~ Δ 20

τὴν ἐμὴν πατρίδα τὰ Σαμόσατα] ὅτι Σαμοσατεὺς Λουκιανός. ~ ERΔ

25 θραυσμάτων] θραῦσμα καὶ θραῦσις λέγεται· φθορά, ἧττα ἐν πολέμῳ, θάνατος, ἀρρωστία, συντριβή, πληγή. ~ Δ

26 θάψας οὖν κτλ.] παύου, ταλαίπωρε· ἱκανῶς σοι πέπαι- 25
σται. μέχρι πόσου διαγελάσεις τοὺς καταράτους; ~ EΔ

λοπάδων: ἡ περικειμένη ἔξωθεν τοῦ κρομμύου λεπὶς καὶ πᾶν λέπος, φλοιός, δέρμα λεπτὸν ξηρόν. λωπάσι δὲ διὰ τοῦ ω̄ μεγάλου σημαίνει τοῖς κλέπταις. ~ Δ

29 καὶ ἐτρώθη περὶ κτλ.] ἀπόλοιο, μιαρέ, αὐτῇ γελωτοποιίᾳ 3
καὶ εἰρωνείᾳ. ~ ERΔ

---

1 Ἀπολλόδωρος δὲ Etym. ‖ 6 cf. sch. Tim. 48 ‖ 17 cf. sch. Gall. 21 ‖ 18 νάνος Δ ‖ 19 παρασάγγης Phot. ‖ 21 ση ὅτι ἐκ σαμοσάτων ἦν ὁ λ. R ‖ 25. 26 πέπαικται Δ ‖ 27 κρομύου Δ

τῶν ἀκριβῶς εἰδότων κτλ.] σημείωσαι. ~ Γ

τὴν μέντοι ἐπιγραφὴν κτλ.] μέχρι τίνος; οὐ παύσῃ, ματαιολόγε; ~ ERΔ 30

δολιχόν*] κύκλον μακρὸν ἢ πολύν. ~ Δ

Θρίαμβον*] Θρίαμβος ἐπίδειξις νίκης, πομπὴ καὶ τὸ σε- 31
μνύνεσθαι. ~ Δ

κορύζης* — γέμουσα] μεμωραμένης καὶ μυξώσης. ~ Δ

ἀμέσων*] τῶν ἐναντίων τὰ μὲν ἄμεσα ὡς ἄρτιον καὶ περιτ- 32
τόν, ζωὴ καὶ θάνατος, φῶς καὶ σκότος, τὰ δὲ ἔμμεσα καὶ
τούτων τὰ μὲν ἓν ἔχουσι τὸ μέρος ὡς δίκαιον καὶ ἄδι-
κον — τούτων γὰρ μέσον τὸ μηδέτερον —, τὰ δὲ πλείονα
ἔχουσι τὰ μεταξὺ ὡς λευκὸν καὶ μέλαν — τούτων γὰρ
μέσα πολλά, φαιόν, ὠχρόν, πυρρόν, ξανθόν, κυα-
νοῦν. ~ Δ

—] ἄμεσον· εἰ μὴ θνητόν, πάντως ἀθάνατον. ἔμμεσον·
εἰ μὴ λευκόν, οὐ πάντως μέλαν, ἀλλ' ἢ φαιὸν ἢ ἐρυθρὸν
ἢ κιρρὸν ἤ τι τοιοῦτον. ~ Δ

ἐρείπια: τὰ εἰς γῆν πεπτωκότα. ἐρείπω δὲ σημαίνει ἐνέρ- 33
γειαν καὶ πάθος· σημαίνει γὰρ τὸ καταβάλλω καὶ τὸ
πίπτω. ~ Δ

Ἴκκος* κτλ.] γυμνασταὶ περιώνυμοι οὗτοι. ~ ERVφ 35

οὐ γὰρ ποιητὴς κτλ.] ὡραῖον. ~ E 38

κάνδυν] κάνδυς χιτὼν Περσικός. ~ Δ 39

πολὺ ἀναγκαιότερον κτλ.] ὡραῖον. ~ E

κάρχαρον: τραχεῖαν. ~ Δ 43

ἀγκύλην*] ἀγκύλη ἡ καμπύλη καὶ ἐπικαμπής. ~ Δ

ἐφιππίου*] ἤγουν τῆς ἀστράβης, ἣν ἄρτι σέλλαν οἱ πολ- 45
λοὶ καλοῦσιν. ~ Δ

ἥκιστα: οὐδαμῶς, οὐχ ἧττον. καὶ Λιβάνιος ἔφη ˂εἴ τινα 47

---

4 κύκλον suspectum; δολιχόν· μακρὸν ἢ πολύ Suid. (δόλιχον Luc. vulg.) ‖ 7 sic Δ (κορυζῶν· μεμωραμένος ἢ μυξάζων Suid.) ‖ 23 cf. sch. Dial. mort. XII 3 ‖ 24 ad c. 42 in E ascriptum λέξις, c. 44 σχῆμα, c. 46 συνθήκη ‖ 27 cf. sch. Nav. 30. Lexiph. 2 | σέλαν Δ ‖ 29 φησιν Phot., Suid.

ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη, μετελθών᾽ ἐν τῷ ⟨βίῳ δ⟩ ἐπὶ τῇ φιάλῃ ἔμπορος, ἀντὶ τοῦ ⟨οὐ⟩ πάνυ. ~ Δ

48 χρηματιζέτω*] καὶ ἐν τῷ Ἰκαρομένιππός [23] φησιν οὕτως "χρηματίσαντες περὶ ὧν ἦκες" ἤγουν διοικήσαντες "ἀποπέμψομεν". ~ Δ

ἄλλως εἰς τὸ χρηματιζέτω. χρήματα πραττέτω. σημαίνει δὲ καὶ τὸ πράγμασι χρήσασθαι· χρηματίζει ἡ βουλὴ καὶ ὁ δῆμος, οἷον πράγμασι σχολάζει· ἀφ᾽ οὗ χρήματα τὰ πράγματα. χρηματίζεσθαι πλουτεῖν. χρηματισάμενοι ἀντὶ τοῦ πραγματευσάμενοι. καὶ χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι. ~ Δ

ῥυθμιζέτω: διατυπούτω, κανονιζέτω, εὐθυνέτω. ~ Δ

49 ἄρτι: τὸ μέρος τοῦ παρεληλυθότος συνάπτον τῷ νῦν, ἐναντίως ἔχον τῷ αὐτίκα· τοῦτο γὰρ κατὰ τὸ μέλλον συνάπτει τὸ νῦν. ~ Δ

53 ὁπόταν δὲ καὶ φροιμιάζηται κτλ.] περὶ προοιμίων ἱστορίας. ἔργα γὰρ τοῦ προοιμίου τρία ταῦτα, τὸ προσοχὴν καὶ εὐμάθειαν καὶ εὔνοιαν ἀπεργάσασθαι, ὧν τὰ δύο προδηλότατά ἐστι τῶν ἀκροατῶν, εὐμάθεια καὶ εὔνοια. τὸ μὲν οὖν τὸν ῥήτορα ὠφελήσει, ἡ εὔνοια, ἵν᾽ εὐμενῶς δέξοιντο οἱ ἀκροαταὶ τοὺς λόγους αὐτοῦ. καὶ ἡ εὐμάθεια δὲ πρὸς τῶν ἀκροατῶν ἐστιν· ἐκείνους γὰρ ὀνίνησι τοῦτο ὥσπερ καὶ ἡ προσοχή, ὃ μάλιστα μεγαλονοίας δεήσεται ῥήτορος εἰδότος καὶ τὰ σμικρὰ μεγάλα δεῖξαι καὶ ὥσπερεὶ δελέατι τοὺς ἀκροατὰς ἑλεῖν. κατὰ δὲ δεύτερον λόγον καὶ ἡ εὐμάθεια ἀπὸ τῆς τοῦ ῥήτορος ἐντρεχείας γενήσεται, ἐπ᾽ ὠφελείᾳ μέντοι καὶ αὐτὴ τῶν ἀκροατῶν. ὥστε τριῶν

---

1 φήθη Naber, Phot. I 257 | βίῳ ὁ sch. in Plat. Leg. X 899 D ‖ 2 φιλίᾳ Suid. | οὐ add. Naber | οὐχ ἥκιστα δὲ ἀντὶ τοῦ πάνυ, μάλιστα Suid. ‖ 4 περὶ ὧν ἥκεις χρηματ. Luc. | 7 χρῆσθαι Vat. 942. Suid. s. v. χρηματίζεσθαι. sch. in Plat. Leg. XII 949 E ‖ 10 πραγματευσάμενοι Δ Suid.; διαπραξάμενοι Etym. s. v. χρῆμα ‖ 15 τῷ νῦν Suid. ‖ 17 γὰρ om. RΔ ‖ 21 fort. καὶ del. ‖ 27 αὖ τ̄ E; αὐτῶν RΔ

ὄντων μόνη ἡ εὔνοια τὸν ῥήτορα ὠφελήσει, τὰ γὰρ λοιπὰ δύο τοὺς ἀκροατάς· διὸ καὶ ἐν ταῖς ἱστορίαις ἐκλείπει, ὅτι μὴ ἑαυτῷ τότε ὁ ῥήτωρ ἀλλὰ τοῖς ἀκροαταῖς ἐργάζεται. ∼ ERΔ

ἐξίτηλα*] ἀφανῆ, εὐτελῆ. καὶ ἔξωθεν βαφῆς. ἢ ἀντὶ τοῦ φαῦλα. ∼ Δ 54

πέμμασι*] πέμματα οἱ πλακοῦντες. ∼ Δ 56

σαπέρδην*] τινὲς σαπέρδην φασὶ τεμάχιον τεταριχευμένον ἰχθύος· οἱ γὰρ Ποντικοὶ τὸν κορακῖνον ἰχθὺν σαπέρδην καλοῦσιν· οἱ δὲ τὰς ἀφύας ἤτοι τὰς παρὰ τοῖς πολλοῖς ἐγγραύλεις λεγομένας ἢ τὰ τῶν μηρῶν ἐξηρημένα κωληνάρια, οἱ δὲ τὰ τῶν συῶν ἢ προβάτων πτύχια, ἅπερ χορδὰς καλοῦσιν. ∼ Δ

λιχνείαν*] λιχνεία πύκνωσις καὶ λίχνος λέγεται ὁ προαπτόμενος τῶν ὄψων. ∼ Δ 57

ὁρᾷς τὸν Κνίδιον κτλ.] περὶ τοῦ τὴν Φάρον τὴν ἐν Ἀλεξανδρείᾳ κτίσαντος. ∼ EΔ 62

60. *Περὶ τῶν σιφάδων.*

ψάμμος ὑπερζέουσα κτλ.] σημείωσαι. ∼ V 1

καὶ ἐλεφάντων κτλ.] σημείωσαι. ∼ Γ 2

τροφὴ γὰρ αὕτη τῷ πυρί*] σημείωσαι. ὥσπερ γάρ τις τροφὴ καὶ τῷ θερμῷ καὶ τῷ ψυχρῷ τὸ ὑγρόν, ἀλλὰ τῷ ψυχρῷ μὲν ἅτε συγγενεστέρῳ μᾶλλον κρατύνεται καὶ ἐπιδίδωσιν, τῷ δὲ θερμῷ μαραίνεταί τε καὶ ἀφανίζεται συναναιροῦσα τὸ ὅσον ἐφ' ἑαυτῇ τὸ θερμόν· ἀεὶ γὰρ πρὸς λόγον αὐτὴ μὲν ἡ ὑγρότης ὀλιγουμένη ἀκμάζειν ὑπενδίδωσιν ὡς οἷα τρέφουσα τῷ θερμῷ, τέλος δὲ ἐξικμαζομένη

---

5 ἀφανῆ, εὐτελῆ, χαῦνα Suid., cf. Etym. ‖ 7 cf. sch. Conv. 11 ‖ 9 γὰρ etiam sch. Dial. mer. XIV 2; δὲ sch. Gall. 22 ‖ 11 ἐγκραυλίας Δ (nisi forte ἐγγραυλίδας scrib.) | ἐξηρμένα Δ ‖ 16 τοῦ τῆς φάρου τὸν πύργον ἐν Δ τὴν sic E; cf. sch. Icarom. 12 ‖ 21 σημείωσαι om. R ‖ 25 pr. τὸ suspect. ‖ 26 λόγον R; λ̓ ὃ E; ὀλίγον edit.

καὶ πρὸς τὸ μὴ εἶναι χωροῦσα ὡσπερεὶ παραθραύει καὶ παρακμάζειν ποιεῖ καὶ αὐτὴ τὸ θερμόν, εἰ καὶ μὴ τοῦτο πάσχειν δοκεῖ διὰ τὸ πάντων ἤδη κεκρατηκέναι τῶν τέως ἐνίκμων τόπων. ~ RE

3 πάντως ἡ χώρα κτλ.] ὡραῖον. ~ E

5 ἐκείνην τὴν αἰτίαν κτλ.] σημείωσαι. ὡραῖον. ~ V

6 ἔνθα δὴ τάφῳ κτλ.] σημείωσαι. ὡραῖον σφόδρα. ~ V

7 εὐρεθείη καὶ πῖλοι — c. 8 διψάδες παρὰ τὰ ᾠά] εἶδον ταῦτα καὶ οὐ ψευδὲς τὸ λεγόμενον. ~ E

9 ταυτὶ οὐ μὰ Δία κτλ.] σημείωσαι. ~ V

φύσις τῶν Λιβυκῶν ἑρπετῶν εἰδέναι: δύναται καὶ οὕτως εἶναι, ἵν' ᾖ οὕτως ὡς οὐκ ἀμελὲς πρὸς τὸ εἰδέναι ἡ φύσις τῶν Λιβυκῶν ἑρπετῶν γεγένηταί μοι· δυσχερέστερον δέ. ~ ER

κατὰ γὰρ τὸν σοφὸν Πλάτωνα κτλ.] σημείωσαι. ~ Γ

61. *Τὰ πρὸς Κρόνον.*

2 ἐν αὐταῖς κτλ.] τὴν τῶν Κρονίων ἑορτὴν ἔοικε λέγειν. ~ RΔ

5 ἔγνως ἄν, ὡς ὀργίζεσθαι γοῦν ἐφεῖται κτλ.] τὸ ἐξῆς ἔγνως ἂν ἐρωτήσας, ὡς ὀργίζεσθαι γοῦν ἐφεῖταί μοι. ~ RV

8 εἴ τις ἕνα κτλ.] βάλλ' ἐς κόρακας, ὄλεθρε, γελωτοποιέ, βωμολόχε. ~ RΔ

οἵ γε οὐδὲ ἑορτάζοντες κτλ.] σημείωσαι. ~ Γ

9 ὁπότε ἡ* χιὼν ἐπέχει κτλ.] χειμῶνος γὰρ τὰ Κρόνια ἤγετο. ~ VΔ

Κρονοσόλων.

17 ὁπόταν τὸ στοιχεῖον* ἐξάπουν ἡ] τὴν ἀπὸ τῆς ἀκτῖνος τοῦ ἡλίου τῶν σωμάτων περιγραφομένην λέγει σκιάν· οὕτω γὰρ αὐτὴν στοιχεῖον ἐκάλουν. ~ BCRVΔ

---

1 παραθραύειν R ‖ 2 αὐτὸ τὸ R ‖ 9 ψευδ E ‖ 11 φύσιν E text. | δύναται δὲ καὶ R ‖ 26 cf. sch. Gall. 9 | ἐκάλουν οἷον "ὁπόταν — χρή" C

Ἐπιστολαὶ Κρονικαί.

μύρμηξ ἢ κάμηλος: παροιμία ἐπὶ τῶν μικροῖς μεγαλαυ- 19
χουμένων. ~ CRVΔ

κοιτίσι] κοιτὶς ἡ μικρὰ κίστη, ἐν ᾗ κοιταζόμεναι αἱ τῶν 21
πλουσίων γυναῖκες ἀποτίθενται τὸν χρύσεον αὐτῶν κόσμον. ~ Δ

ἔλαφον καὶ τὰ δελφάκια κτλ.] σημείωσαι. ~ V 23

σφηνοπώγωνες ἐν κωμῳδίᾳ δύο εἰσίν, ὁ μὲν ἐλεύθερος, 24
ὁ δὲ οἰκέτης· ὁ μὲν ἐλεύθερος ἀναφαλαντίας, ὀφρῦς ἀνεσπασμένος, ὀξυγένειος, ὁ δὲ οἰκέτης ἀκμάζει καὶ ὄγκον ἔχει ὑψηλὸν καὶ πλατύν, κοιλαινόμενον ἐν περιφορᾷ, ξανθός, τραχύς, ἐρυθρός, πρέπων ἀγγέλῳ. ~ VΔ

ἀλλ' εἰᾶτε καθ' ἑαυτοὺς πλουτεῖν — ὧν οὐδὲν ὄφε- 29
λος] τοῦτο καὶ Δίων ὁ Προυσαεὺς ἐν τῷ Περὶ πλούτου [cf. 79, 6] φησίν. ~ Δ

ὡς δὲ νῦν ἔχετε κτλ.] σημείωσαι. ~ V 33

ψύττα: ἐπὶ τοῦ ταχέως ἀποδραμεῖν τάσσεται. ~ CRVΔ 35

μηδὲ πρὸς ἕπος λαμβάνοιεν: ἀντὶ τοῦ παρευθύς, ἢ ὅσα 37
ἤτησαν. ~ CVΔ

ἀναμνήσθητι τὸν Ἰξίονα κτλ.] σημείωσαι. ἱστορία. ~ V 38

62. *Ἡρόδοτος ἢ Ἀετίων.*

Ἐν τούτῳ τῷ λόγῳ ἐξέφηνεν, ὡς ἐπιδείξεως ἄγαν κιττῶν τοὺς ἑαυτοῦ περιειργάζετο λόγους. ~ Vφ

Ἡροδότου κτλ.] σημείωσαι. ~ V 1

οἴκοθεν ἐκ τῆς Καρίας*] ἡ Ἁλικαρνασὸς γὰρ τῆς Καρίας. ~ Vφ

---

2 παροιμία CRΔ; σημείωσαι V (in fine ἡ παροιμία) | σμικροῖς C; ἐπὶ μ. Δ ‖ 9 τὰς ὀφρῦς Vat. 942 ‖ 9. 10 ἀνατεταμέναι vel -νας Poll. 4, 145 ‖ 11 ἐν τῇ π. Poll. 4, 138 ‖ 17 cf. sch. Lexiph. 3 et (om. ταχέως et τάσσ.) Phot. ‖ 18 ἤγουν παρευθὺς VΔ | παρευθύ C ‖ 25 ἡ γὰρ Ἁλ. φ

4 ὅπου τὰ τελευταῖα κτλ.] σημείωσαι. ~ V
8 ὅτιπερ ὄφελος*] ἀντὶ τοῦ οἷ μέγιστοι καὶ ἀξιωφελιμώτατοι. ~ VφM
παραθεωρῆτε*] ἀντὶ τοῦ συγκρίνητε, ἐξετάζητε. ~ Vφ

63. Ζεῦξις ἢ Ἀντίοχος.

2 ὀνομάτων δὲ ἄρα κτλ.] ὡραῖον. ~ Γ
3 ὁ Ζεῦξις ἐκεῖνος κτλ.] σημείωσαι. ἱστορία. ~ V
5 δύναμιν τῆς τέχνης κτλ.] ὡραῖον. ~ Γ
8 ὁ μὲν γὰρ Ζεῦξις κτλ.] ἱστορία. ~ V
εἰδὼς γὰρ σφόδρα ἀλκίμους κτλ.] σφόδρα ὡραῖον. ~ V

64. Ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει παίσματος.

1 ἐγὼ δὲ ὁ* χρυσοῦς ἐπιλαθόμενος ὑγιαίνειν κτλ.] αἱ γάρτοι τῶν παλαιῶν προσρήσεις αἱ μὲν ἐωθιναὶ χαῖρε, αἱ δὲ ἑσπερινὰι ὑγίαινε. ~ VCφ
2 παρ'* ἀλλήλων] ἀντὶ τοῦ ἀπ' ἀλλήλων· ἢ παρά ἀντὶ τῆς ἀπό. ~ Vφ
τὸ γοῦν μακρὰ χαίρειν κτλ.] σημείωσαι. χρήσιμον. ~ V
3 καὶ τοῦτο εἰπὼν κτλ.] σημείωσαι. ~ Γ
4 ἀλλ' ὁ Θαυμαστὸς Πλάτων κτλ.] σημείωσαι. ~ V
τὸ δ' εὖ πράττειν κτλ.] σημείωσαι. ~ Γ
